783

# ΣΥΛΛΟΓΗ ΔΙΑΦΟΡΩΝ ΕΛΛΗΝΩΝ ΣΥΓΓΡΑΦΕΩΝ & ΠΟΙΗΤΩΝ

ΒΙΒΛΙΟΘΗΚΗ
Μ. ΦΑΛΤΑΪΤΣ

# ΣΥΛΛΟΓΗ

ἐκ

## ΔΙΑΦΟΡΩΝ ΕΛΛΗΝΩΝ

ΣΥΓΓΡΑΦΕΩΝ ΚΑΙ ΠΟΙΗΤΩΝ.

εἰς

Χρῆσιν τῶν Ἑλληνικῶν Σχολείων.


...υ περὶ ἀυ... . . . . . . 242
Μενέξενος. . . . . . . . . . . 266
Κρίτων. . . . . . . . . . . . . 284
Φαίδων. . . . . . . . . . . . . 299
Ἀπολογία Σωκράτους. . . . . . . 213



ΕΝ ΟΔΗ...

...ν τῇ Τυπογραφίᾳ τῆς Ἑλληνεμπορικῆς

1833.

**Печатать позволено:**

съ тѣмъ, чтобы по напечатаніи, до выпуска изъ Типографіи, представлены были въ Главный Цензурный Комитетъ три экземпляра сей книги, для препровожденія куда слѣдуетъ, на основаніи узаконеній. Одесса, Іюня 3-го дня 1838 года.

*Цензоръ Дѣйствительный [illegible]й Совѣтникъ*

*[illegible]ріани.*

# ΠΙΝΑΞ.

## Τῶν περιεχομένων εἰς τὸν δεύτερον τόμον.


Σελίδες

Λυσίου Λόγος ἐπιτάφιος. . . . . . . . . . . 1

Ἰσοκράτους Ἀρχίδαμος. . . . . . . . . . . 18

— — Εὐαγόρας. . . . . . . . . . . 45

— — Πρὸς Δημόνικον. . . . . . . . . . . 63

— — Ἀρειοπαγιτικός. . . . . . . . . . . 75

— — Παναθηναϊκός. . . . . . . . . . . 95

— — Συμμαχικός . . . . . . . . . . 154

— — Πλαταικός. . . . . . . . . . . 187

— — Πανηγυρικός. . . . . . . . . . . 200

Πλουτάρχου περὶ ἀδολεσχίας. . . . . . . . . 242

Πλάτωνος Μενέξενος. . . . . . . . . . . 266

— — Κρίτων. . . . . . . . . . . . 284

— — Φαίδων. . . . . . . . . . . . 299

— — Ἀπολογία Σωκράτους. . . . . . . . . 213



ΒΙΒΛΙΟΘΗΚΗ
Μ. ΘΑΛΤΑΠΠΣ

# ΛΥΣΙΟΥ

## ΛΟΓΟΣ ΕΠΙΤΑΦΙΟΣ

### ΕΠΙ ΤΩΝ ΕΝ Τῼ ΠΟΛΕΜῼ

### ὑπὲρ τῶν Κορινθίων Ἀποθανόντων.

1. Εἰ μὲν ἡγούμην οἷόν τε εἶναι, ὦ παρόντες, ἐπὶ τῷδε τῷ τάφῳ λόγῳ δηλῶσαι τὴν τῶν ἐνθάδε κειμένων ἀνδρῶν ἀρετὴν, ἐμεμψάμην ἂν τοῖς ἐπαγγείλασιν ἐπ' αὐτοῖς ἐξ ὀλίγων ἡμερῶν λέγειν· ἐπειδὴ δὲ τοῖς πᾶσιν ἀνθρώποις ὁ πᾶς χρόνος οὐχ ἱκανὸς λόγον ἴσον παρασκευάσαι τοῖς τούτων ἔργοις, διὰ τοῦτο καὶ ἡ πόλις μοι δοκεῖ, προνοουμένη τῶν ἐνθάδε λεγόντων, ἐξ ὀλίγου τὴν πρόσταξιν ποιεῖσθαι, ἡγουμένη οὕτως ἂν μάλιστα συγγνώμης αὐτοὺς παρὰ τῶν ἀκουσάντων τυγχάνειν. Ὅμως δὲ ὁ μὲν λόγος μοι περὶ τούτων, ὁ δ' ἀγὼν οὐ πρὸς τὰ τούτων ἔργα, ἀλλὰ πρὸς τοὺς πρότερον ἐπ' αὐτοῖς εἰρηκότας. Τοσαύτην γὰρ ἀφθονίαν παρεσκεύασεν ἡ τούτων ἀρετὴ καὶ τοῖς ποιεῖν δυναμένοις καὶ τοῖς εἰπεῖν βουληθεῖσιν, ὥστε καλὰ μὲν πολλὰ τοῖς προτέροις περὶ αὐτῶν εἰρῆσθαι, πολλὰ δὲ καὶ ἐκείνοις παραλελεῖφθαι, ἱκανὰ δὲ καὶ τοῖς ἐπιγιγνομένοις ἐξεῖναι λέγειν. Οὔτε γὰρ γῆς ἄπειροι, οὔτε θαλάττης οὐδεμιᾶς· πανταχοῦ δὲ καὶ παρὰ πᾶσιν ἀνθρώποις οἱ τὰ αὑτῶν πενθοῦντες κακὰ τὰς τούτων ἀρετὰς ὑμνοῦσι.

2. Πρῶτον μὲν οὖν τοὺς παλαιοὺς κινδύνους τῶν προγόνων δίειμι, μνήμην παρὰ τῆς φήμης λαβών. Ἄξιον γὰρ πᾶσιν ἀνθρώποις κἀκείνων μεμνῆσθαι, ὑμνοῦντας μὲν ἐν ταῖς ᾠδαῖς, λέγοντας δ' ἐν ταῖς τῶν ἀγαθῶν μνήμαις, τιμῶντας δ' ἐν τοῖς καιροῖς τοῖς τοιούτοις, παιδεύοντας δ' ἐν τοῖς τῶν τεθνεώτων ἔργοις τοὺς ζῶντας.

3. Ἀμαζόνες μὲν γὰρ Ἄρεος μὲν τὸ παλαιὸν ἦσαν θυγατέρες, οἰκοῦσαι δὲ παρὰ τὸν Θερμώδοντα ποταμὸν, μόναι δὲ ὡπλισμέναι σιδήρῳ τῶν περὶ αὐτὰς, πρῶται δὲ τῶν πάντων ἐφ' ἵππους ἀναβᾶσαι, οἷς ἀνελπίστως, δι' ἀπειρίαν τῶν ἐναντίων, ᾕρουν μὲν τοὺς φεύγοντας, ἀπέλειπον δὲ τοὺς διώκοντας, ἐνομίζοντο δὲ διὰ τὴν εὐψυχίαν μᾶλλον ἄνδρες, ἢ διὰ τὴν φύσιν γυναῖκες· πλέον γὰρ ἐδόκουν τῶν ἀνδρῶν ταῖς ψυχαῖς διαφέρειν, ἢ ταῖς ἰδίαις ἐλλείπειν. Ἄρχουσαι δὲ πολλῶν ἐθνῶν, καὶ ἔργῳ μὲν τοὺς περὶ αὐτὰς καταδεδουλωμέναι, λόγῳ δὲ περὶ τῆσδε τῆς χώρας ἀκούουσαι κλέος μέγα, πολλῆς δόξης καὶ μεγάλης ἐλπίδος χάριν παραλαβοῦσαι τὰ μαχιμώτατα τῶν ἐθνῶν, ἐστράτευσαν ἐπὶ τήνδε τὴν πόλιν. Τυχοῦσαι δ' ἀγαθῶν ἀνδρῶν, ὁμοίας ἐκτήσαντο τὰς ψυχὰς τῇ φύσει, καὶ ἐναντίαν τὴν δόξαν τῆς προτέρας λαβοῦσαι, μᾶλλον ἐκ τῶν κινδύνων ἢ ἐκ τῶν σωμάτων ἔδοξαν εἶναι γυναῖκες. Μόναις δ' αὐταῖς οὐκ ἐξεγένετο ἐκ τῶν ἡμαρτημένων μαθούσαις περὶ τῶν λοιπῶν ἄμεινον βουλεύσασθαι, οὐδ' οἴκαδε ἀπελθούσαις ἀπαγγεῖλαι τήν τε σφετέραν αὐτῶν δυστυχίαν καὶ τὴν τῶν ἡμετέρων προγόνων ἀρετήν. Αὐτοῦ γὰρ ἀποθανοῦσαι, καὶ δοῦσαι δίκην τῆς ἀνοίας, τῆσδε μὲν τῆς πόλεως διὰ τὴν ἀρετὴν ἀθάνατον μνήμην ἐποιήσαντο, τὴν δὲ ἑαυτῶν πατρίδα, διὰ τὴν ἐνθάδε συμφορὰν ἀνώνυμον κατέστησαν.

4. Ἐκεῖναι μὲν οὖν τῆς ἀλλοτρίας ἀδίκως ἐπιθυμήσασαι, τὴν αὐτῶν δικαίως ἀπώλεσαν. Ἀδράστου δὲ καὶ Πολυνείκους ἐπὶ Θήβας στρατευσάντων, καὶ ἡττηθέντων μα-

χῃ, οὐκ ἐώντων τῶν Καδμείων θάπτειν τοὺς νεκροὺς, Ἀθηναῖοι ἡγησάμενοι ἐκείνους μὲν, εἴ τι ἠδίκουν, ἀποθανόντας δίκην ἔχειν τὴν μεγίστην, τοὺς δὲ κάτω τὰ αὑτῶν οὐ κομίζεσθαι, ἱερῶν δὲ μιαινομένων τοὺς ἄνω θεοὺς ἀσεβεῖσθαι, τὸ μὲν πρῶτον πέμψαντες κήρυκας, ἐδέοντο αὐτῶν δοῦναι τῶν νεκρῶν ἀναίρεσιν, νομίζοντες ἀνδρῶν μὲν ἀγαθῶν εἶναι ζῶντας τοὺς ἐχθροὺς τιμωρήσασθαι, ἀπιστούντων δὲ σφίσιν αὐτοῖς ἐν τοῖς τῶν τεθνεώτων σώμασι τὴν εὐψυχίαν ἐπιδείκνυσθαι. Οὐ δυνάμενοι δὲ τούτων τυχεῖν, ἐστράτευσαν ἐπ᾽ αὐτοὺς, οὐδεμιᾶς διαφορᾶς πρότερον πρὸς Καδμείους ὑπαρχούσης, οὐδὲ τοῖς ζῶσι τῶν Ἀργείων χαριζόμενοι, ἀλλὰ τοὺς τεθνεῶτας ἐν τῷ πολέμῳ ἀξιοῦντες τῶν νομιζομένων τυγχάνειν, πρὸς τοὺς ἑτέρους ὑπὲρ ἀμφοτέρων ἐκινδύνευσαν· ὑπὲρ μὲν τῶν, ἵνα μηκέτι εἰς τοὺς τεθνεῶτας ἐξαμαρτάνοντες, πλείω περὶ τοὺς θεοὺς ἐξυβρίσωσιν· ὑπὲρ δὲ τῶν ἑτέρων, ἵνα μὴ πρότερον εἰς τὴν αὑτῶν ἀπέλθωσι, πατρίου τιμῆς ἀτυχήσαντες, καὶ Ἑλληνικοῦ νόμου στερηθέντες, καὶ κοινῆς ἐλπίδος ἡμαρτηκότες. Ταῦτα διανοηθέντες, καὶ τὰς ἐπὶ τῷ πολέμῳ τύχας κοινὰς ἁπάντων ἀνθρώπων νομίζοντες, πολλοὺς μὲν πολεμίους κτώμενοι, τὸ δὲ δίκαιον ἔχοντες σύμμαχον, ἐνίκων μαχόμενοι. Καὶ οὐχ ὑπὸ τῆς τύχης ἐπαρθέντες μείζονος παρὰ Καδμείων τιμωρίας ἐπεθύμησαν, ἀλλ᾽ ἐκείνοις μὲν ἀντὶ τῆς ἀσεβείας τὴν ἑαυτῶν ἀρετὴν ἐπεδείξαντο· αὐτοὶ δὲ λαβόντες τὰ ἆθλα, ὧνπερ ἕνεκα ἀφίκοντο, τοὺς Ἀργείων νεκροὺς ἔθαψαν ἐν τῇ αὑτῶν Ἐλευσῖνι.

5. Περὶ μὲν οὖν τοὺς ἀποθανόντας τῶν ἑπτὰ ἐπὶ Θήβας τοιοῦτοι γεγόνασιν. Ὑστέρῳ δὲ χρόνῳ, ἐπειδὴ Ἡρακλῆς μὲν ἐξ ἀνθρώπων ἠφανίσθη, οἱ δὲ παῖδες αὐτοῦ ἔφευγον μὲν Εὐρυσθέα, ἐξηλαύνοντο δὲ ὑπὸ πάντων τῶν Ἑλλήνων, αἰσχυνομένων μὲν τοῖς ἔργοις, φοβουμένων δὲ τὴν Εὐρυσθέως δύναμιν, ἀφικόμενοι εἰς τήνδε τὴν πόλιν, ἱκέται ἐπὶ τὸν βωμὸν ἐκαθέζοντο. Ἐξαιτουμένου δὲ αὐτοὺς

Εὐρυσθέως, Ἀθηναῖοι οὐκ ἠθέλησαν ἐκδοῦναι, ἀλλὰ τὴν Ἡρακλέους ἀρετὴν μᾶλλον ᾐδοῦντο, ἢ τὸν κίνδυνον τὸν ἑαυτῶν ἐφοβοῦντο· καὶ ἠξίουν ὑπὲρ τῶν ἀσθενεστέρων μετὰ τοῦ δικαίου διαμάχεσθαι μᾶλλον, ἢ τοῖς δυναμένοις χαριζόμενοι τοὺς ὑπ᾽ ἐκείνων ἀδικουμένους ἐκδοῦναι. Ἐπιστρατεύσαντος δ᾽ Εὐρυσθέως, μετὰ τῶν ἐν ἐκείνῳ τῷ χρόνῳ Πελοπόννησον ἐχόντων, οὐκ ἐγγὺς τῶν δεινῶν γενόμενοι μετέγνωσαν, ἀλλὰ τὴν αὐτὴν εἶχον γνώμην, ἥνπερ πρότερον· ἀγαθὸν μὲν οὐδὲν ἰδίᾳ ὑπὸ τοῦ πατρὸς αὐτῶν πεπονθότες, ἐκείνους τ᾽ οὐκ εἰδότες ὁποῖοί τινες ἄνδρες ἔσονται γενόμενοι, δίκαιον δὲ νομίζοντες εἶναι, οὐ προτέρας ἔχθρας ὑπαρχούσης πρὸς Εὐρυσθέα, οὐδὲ κέρδους προκειμένου πλὴν δόξης ἀγαθῆς, τοσοῦτον κίνδυνον ὑπὲρ αὐτῶν ἤραντο· τοῖς μὲν ἀδικουμένους ἐλεοῦντες, τοὺς δ᾽ ὑβρίζοντας μισοῦντες· καὶ τοὺς μὲν κωλύειν ἐπιχειροῦντες, τοῖς δ᾽ ἐπικουρεῖν ἀξιοῦντες· ἡγούμενοι ἐλευθερίας μὲν εἶναι σημεῖον, μηδὲν ποιεῖν ἄκοντας· δικαιοσύνης δὲ, τοῖς ἀδικουμένοις βοηθεῖν· εὐψυχίας δ᾽, ὑπὲρ τούτων ἀμφοτέρων, εἰ δέοι, μαχομένους ἀποθνήσκειν. Τοσοῦτον δὲ, ἐφρόνουν ἀμφότεροι, ὥσθ᾽ οἱ μὲν μετ᾽ Εὐρυσθέως οὐδὲν παρ᾽ ἑκόντων ἐζήτουν εὑρίσκεσθαι, Ἀθηναῖοι δὲ οὐκ ἠξίουν Εὐρυσθέα αὐτὸν ἱκετεύοντα τοὺς ἱκέτας αὐτῶν ἐξελεῖν. Παραταξάμενοι δ᾽ ἰδίᾳ δυνάμει τὴν ἐξ ἁπάσης Πελοποννήσου στρατιὰν ἐλθοῦσαν ἐνίκων μαχόμενοι· καὶ τῶν Ἡρακλέους παίδων τὰ μὲν σώματα εἰς ἄδειαν κατέστησαν, ἀπαλλάξαντες δὲ τοῦ δέους καὶ τὰς ψυχὰς ἠλευθέρωσαν· διὰ δὲ τὴν τοῦ πατρὸς ἀρετὴν ἐκείνους δὲ τοῖς αὐτῶν κινδύνοις ἐστεφάνωσαν. Τοσοῦτον δ᾽ εὐτυχέστεροι παῖδες ὄντες ἐγένοντο τοῦ πατρός· ὁ μὲν γὰρ, καί περ ὢν ἀγαθῶν πολλῶν αἴτιος ἅπασιν ἀνθρώποις, ἐπίπονον καὶ φιλόνεικον καὶ φιλότιμον αὑτῷ καταστήσας τὸν βίον, τοὺς μὲν ἄλλους ἀδικοῦντας ἐκόλασεν, Εὐρυσθέα, δὲ καὶ ἐχθρὸν ὄντα, καὶ εἰς αὐτὸν ἐξαμαρτάνοντα, οὐχ οἷός τε ἦν τιμωρήσασθαι· οἱ δὲ παῖδες αὐτοῦ διά τήνδε

τὴν πόλιν τῇ αὐτῇ εἶδον ἡμέρᾳ τὴν θ' ἑαυτῶν σωτηρίαν, καὶ τὴν τῶν ἐχθρῶν τιμωρίαν.

6. Πολλὰ μὲν οὖν ὑπῆρχε τοῖς ἡμετέροις προγόνοις μιᾷ γνώμῃ χρωμένοις περὶ τοῦ δικαίου διαμάχεσθαι· ἥτε γὰρ ἀρχὴ τοῦ βίου δικαία· (οὐ γάρ, ὥσπερ οἱ πολλοί, πανταχόθεν συνειλεγμένοι, καὶ ἑτέρους ἐκβαλόντες τὴν ἀλλοτρίαν ᾤκησαν, ἀλλ' αὐτόχθονες ὄντες, τὴν αὐτὴν ἐκέκτηντο μητέρα καὶ πατρίδα). Πρῶτοι δὲ καὶ μόνοι ἐν ἐκείνῳ τῷ χρόνῳ, ἐκβαλόντες τὰς παρὰ σφίσιν αὐτοῖς δυναστείας, δημοκρατίαν κατεστήσαντο, ἡγούμενοι τὴν πάντων ἐλευθερίαν ὁμόνοιαν εἶναι μεγίστην· κοινὰς δ' ἀλλήλοις τὰς ἐκ τῶν κινδύνων ἐλπίδας ποιήσαντες, ἐλευθέραις ταῖς ψυχαῖς ἐπολιτεύοντο, νόμῳ τοὺς ἀγαθοὺς τιμῶντες καὶ τοὺς κακοὺς κολάζοντες· ἡγησάμενοι θηρίων μὲν ἔργον εἶναι ὑπ' ἀλλήλων βίᾳ κρατεῖσθαι, ἀνθρώποις δὲ προσήκειν νόμῳ μὲν ὁρίσασθαι τὸ δίκαιον, λόγῳ δὲ πεῖσαι, ἔργῳ δὲ τούτοις ὑπηρετεῖν, ὑπὸ νόμου μὲν βασιλευομένους, ὑπὸ λόγου δὲ διδασκομένους.

7. Καὶ γάρ τοι καὶ φύντες καλῶς, καὶ γνόντες ὅμοια, πολλὰ μὲν καλὰ καὶ θαυμαστὰ οἱ πρόγονοι τῶν ἐνθάδε κειμένων εἰργάσαντο, ἀείμνηστα δὲ καὶ μεγάλα καὶ πανταχοῦ οἱ ἐξ ἐκείνων γεγονότες τρόπαια διὰ τὴν αὐτὴν ἀρετὴν κατέλιπον. Μόνοι γὰρ ὑπὲρ ἁπάσης τῆς Ἑλλάδος πρὸς πολλὰς μυριάδας τῶν βαρβάρων διεκινδύνευσαν. Ὁ γὰρ τῆς Ἀσίας βασιλεύς, οὐκ ἀγαπῶν τοῖς ὑπάρχουσιν ἀγαθοῖς, ἀλλ' ἐλπίζων καὶ τὴν Εὐρώπην δουλώσεσθαι, ἔστειλε πεντήκοντα μυριάδας στρατιάν. Ἡγησάμενοι δέ, εἰ τήνδε τὴν πόλιν, ἢ ἑκοῦσαν φίλην ποιήσαιντο, ἢ ἄκουσαν καταστρέψαιντο, ῥᾳδίως τῶν ἄλλων Ἑλλήνων ἄρξειν, ἀπέβησαν εἰς Μαραθῶνα, νομίσαντες οὕτως ἂν ἐρημοτάτους εἶναι συμμάχων τοὺς Ἕλληνας, εἰ ἔτι στασιαζούσης τῆς Ἑλλάδος ᾧ τινι χρὴ τρόπῳ τοὺς ἐπιόντας ἀμύνασθαι, τὸν κίνδυνον ποιήσαιντο. Ἔτι δ' αὐτοῖς ἐκ τῶν προτέρων ἔργων περὶ

τῆς πόλεως τοιαύτη δόξα παρειστήκει, ὡς, εἰ μὲν πρότερον ἐπ᾽ ἄλλην πόλιν ἴασιν, ἐκείνοις καὶ Ἀθηναίοις πολεμήσουσι· προθύμως γὰρ τοῖς ἀδικουμένοις ἥξουσι βοηθήσοντες· εἰ δ᾽ ἐνθάδε πρῶτον ἀφίξονται, οὐδένας ἄλλους τῶν Ἑλλήνων τολμήσειν, ἑτέρους σώζοντας, φανερὰν ἔχθραν πρὸς ἐκείνους ὑπὲρ αὐτῶν καταθέσθαι. Οἱ μὲν τοίνυν τοιαῦτα διενοοῦντο· οἱ δ᾽ ἡμέτεροι πρόγονοι, οὐ λογισμῷ εἰδότες τοὺς ἐν τῷ πολέμῳ κινδύνους, ἀλλὰ νομίζοντες τὸν εὐκλεᾶ θάνατον ἀθάνατον περὶ τῶν ἀγαθῶν καταλείπειν λόγον, οὐκ ἐφοβήθησαν τὸ πλῆθος τῶν ἐναντίων, ἀλλὰ τῇ αὑτῶν ἀρετῇ μᾶλλον ἐπίστευσαν· καὶ αἰσχυνόμενοι, ὅτι ἦσαν οἱ βάρβαροι αὐτῶν ἐν τῇ χώρᾳ, οὐκ ἀνέμειναν πυθέσθαι, οὐδὲ βοηθῆσαι τοὺς συμμάχους, οὐδ᾽ ᾠήθησαν δεῖν ἑτέροις τῆς σωτηρίας χάριν εἰδέναι, ἀλλὰ σφίσιν αὐτοῖς τοὺς ἄλλους Ἕλληνας. Ταῦτα μιᾷ γνώμῃ πάντες γνόντες, ἀπήντων ὀλίγοι πρὸς πολλούς. Ἐνόμιζον γὰρ ἀποθανεῖν μὲν αὐτοῖς μετὰ πάντων προσήκειν, ἀγαθοὺς δ᾽ εἶναι μετ᾽ ὀλίγων· καὶ τὰς μὲν ψυχὰς ἀλλοτρίας διὰ τὸν θάνατον κεκτῆσθαι, τὴν δ᾽ ἐκ τῶν κινδύνων μνήμην ἰδίαν καταλείψειν. Ἠξίουν δ᾽ οὓς μὴ μόνοι νικῷεν, οὐδ᾽ ἂν μετὰ συμμάχων δύνασθαι· καὶ ἡττηθέντες μὲν, ὀλίγῳ τῶν ἄλλων προαπολεῖσθαι, νικήσαντες δὲ, καὶ τοὺς ἄλλους ἐλευθερώσειν. Ἄνδρες δ᾽ ἀγαθοὶ γενόμενοι, καὶ τῶν μὲν σωμάτων ἀφειδήσαντες, ὑπὲρ δὲ τῆς ἀρετῆς οὐ φιλοψυχήσαντες, καὶ μᾶλλον τοὺς παρ᾽ αὐτοῖς νόμους αἰσχυνόμενοι, ἢ τὸν πρὸς τοὺς πολεμίους κίνδυνον φοβούμενοι, ἔστησαν μὲν τρόπαια ὑπὲρ τῆς Ἑλλάδος τῶν βαρβάρων, ἐκ τῆς αὑτῶν ὑπὲρ χρημάτων εἰς τὴν ἀλλοτρίαν ἐμβαλόντων [παρὰ τοὺς ὅρκους]. Οὕτω δὲ διὰ ταχέων τὸν κίνδυνον ἐποιήσαντο, ὥστε οἱ αὐτοὶ τοῖς ἄλλοις ἀπήγγειλαν τήν τε ἐνθάδε ἄφιξιν τῶν βαρβάρων, καὶ τὴν τῶν προγόνων νίκην. Καὶ γάρτοι οὐδεὶς τῶν ἄλλων ἔδεισεν ὑπὲρ τοῦ μέλλοντος κινδύνου, ἀλλ᾽ ἀκούσαντες ὑπὲρ τῆς αὑτῶν ἐλευθερίας ἥσθησαν. Ὥστε οὐδὲν θαυμαστὸν, πα-

λαιῶν τῶν ἔργων γεγενημένων, ὥσπερ καινῶν ὄντων, ἔτι καὶ νῦν τὴν ἀρετὴν αὐτῶν ὑπὸ πάντων ἀνθρώπων ζηλοῦσθαι.

8. Μετὰ δὲ ταῦτα Ξέρξης, ὁ τῆς Ἀσίας βασιλεὺς, καταφρονήσας μὲν τῆς Ἑλλάδος, ἐψευσμένος δὲ τῆς ἐλπίδος, ἀτιμαζόμενος δὲ τῷ γεγενημένῳ, ἀχθόμενος δὲ τῇ συμφορᾷ, ὀργιζόμενος δὲ τοῖς αἰτίοις, ἀπαθὴς δ' ὢν κακῶν καὶ ἄπειρος ἀνδρῶν ἀγαθῶν, δεκάτῳ ἔτει παρασκευασάμενος, χιλίας μὲν καὶ διακοσίαις ναυσὶν ἀφίκετο· τῆς δὲ πεζῆς στρατιᾶς οὕτως ἄπειρον τὸ πλῆθος ἦγεν, ὥστε καὶ τὰ ἔθνη τὰ μετ' αὐτοῦ ἀκολουθήσαντα πολὺ ἂν ἔργον εἴη καταλέξαι. Τὸ δὲ μέγιστον σημεῖον τοῦ πλήθους· ἐξὸν γὰρ αὐτῷ χιλίαις ναυσὶ διαβιβάσαι κατὰ τὸ στενώτατον τοῦ Ἑλλησπόντου τὴν πεζὴν στρατιὰν ἐκ τῆς Ἀσίας εἰς τὴν Εὐρώπην, οὐκ ἠθέλησεν, ἡγούμενος τὴν διατριβὴν αὐτῷ πολλὴν ἔσεσθαι· ἀλλ' ὑπεριδὼν καὶ τὰ φύσει πεφυκότα, καὶ τὰ θεῖα πράγματα, καὶ τὰς ἀνθρωπίνας διανοίας, ὁδὸν μὲν διὰ τῆς θαλάσσης ἐποιήσατο, πλοῦν δὲ διὰ γῆς ἠνάγκασε γενέσθαι, ζεύξας μὲν τὸν Ἑλλήσποντον, διορύξας δὲ τὸν Ἄθω· ὑφισταμένου οὐδενὸς, ἀλλὰ τῶν μὲν, ἀκόντων ὑπακουόντων, τῶν δὲ, ἑκόντων προδιδόντων. Οἱ μὲν γὰρ οὐχ ἱκανοὶ ἦσαν ἀμύνασθαι, οἱ δ' ὑπὸ χρημάτων διεφθαρμένοι· ἀμφότερα δ' ἦν αὐτοὺς τὰ πείθοντα, κέρδος καὶ δέος. Ἀθηναῖοι δὲ οὕτω διακειμένης τῆς Ἑλλάδος, αὐτοὶ μὲν εἰς τὰς ναῦς εἰσβάντες, ἐπ' Ἀρτεμίσιον ἐβοήθησαν· Λακεδαιμόνιοι δὲ καὶ τῶν συμμάχων ἔνιοι εἰς Θερμοπύλας ἀπήντησαν, ἡγούμενοι διὰ τὴν στενότητα τῶν χωρίων τὴν πάροδον οἷοί τε ἔσεσθαι διαφυλάξαι. Γενομένου δὲ τοῦ κινδύνου κατὰ τὸν αὐτὸν χρόνον, Ἀθηναῖοι μὲν ἐνίκων τῇ ναυμαχίᾳ· Λακεδαιμόνιοι δὲ οὐδὲν ταῖς ψυχαῖς ἐνδεεῖς γενόμενοι, ἀλλὰ τοῦ πλήθους ψευσθέντες, καὶ οὓς φυλάξειν ᾤοντο, καὶ πρὸς οὓς κινδυνεύσειν ἔμελλον, διεφθάρησαν, οὐχ ἡττηθέντες τῶν ἐναντίων, ἀλλ' ἀποθανόντες οὗπερ ἐτάχθησαν μάχεσθαι. Τούτῳ δὲ τῷ τρόπῳ τῶν

μὲν δυστυχησάντων, τῶν δὲ τῆς παρόδου κρατησάντων, οἱ μὲν ἐπορεύοντο ἐπὶ τήνδε τὴν πόλιν, οἱ δὲ ἡμέτεροι πρόγονοι πυθόμενοι μὲν τὴν γεγενημένην Λακεδαιμονίοις συμφορὰν, ἀπορoῦντες δὲ τοῖς περιεστηκόσι πράγμασιν, εἰδότες δ᾽ ὅτι, εἰ μὲν κατὰ γῆς τοῖς Βαρβάροις ἀπαντήσονται, ἐπιπλεύσαντες χιλίαις ναυσὶν ἐρήμην τὴν πόλιν λήψονται, εἰ δ᾽ εἰς τὰς τριήρεις ἐμβήσονται, ὑπὸ τῆς πεζῆς στρατιᾶς ἁλώσονται, ἀμφότερα δὲ οὐ δυνήσονται, ἀμύνασθαί τε καὶ φυλακὴν ἱκανὴν καταλιπεῖν· δυεῖν δὲ προκειμένοιν, πότερον χρὴ τὴν πατρίδα ἐκλιπεῖν, ἢ μετὰ τῶν βαρβάρων γενομένους καταδουλώσασθαι τοὺς Ἕλληνας, ἡγησάμενοι κρεῖττον εἶναι μετ᾽ ἀρετῆς καὶ πενίας καὶ φυγῆς ἐλευθερίαν, ἢ μετ᾽ ὀνείδους καὶ πλούτου δουλείαν τῆς πατρίδος, ἐξέλιπον ὑπὲρ τῆς Ἑλλάδος τὴν πόλιν, ἵν᾽ ἐν μέρει πρὸς ἑκατέραν, ἀλλὰ μὴ πρὸς ἀμφοτέρας ἅμα τὰς δυνάμεις κινδυνεύσωσιν. Ὑπεκθέμενοι δὲ παῖδας καὶ γυναῖκας καὶ μητέρας εἰς Σαλαμῖνα, συνήθροιζον καὶ τὸ τῶν ἄλλων συμμάχων ναυτικόν. Οὐ πολλαῖς δ᾽ ὕστερον ἡμέραις ἦλθε καὶ ἡ πεζὴ στρατιὰ, καὶ τὸ ναυτικὸν τὸ τῶν βαρβάρων· Ὃ τίς οὐκ ἂν ἰδὼν ἐφοβήθη; Οἷος μέγας καὶ δεινὸς τῇδε τῇ πόλει κίνδυνος ὑπὲρ τῆς τῶν Ἑλλήνων ἐλευθερίας ἠγωνίσθη; Ποίαν δὲ γνώμην εἶχον ἢ οἱ θεώμενοι τοὺς ἐν ταῖς ναυσὶν ἐκείναις (οὔσης καὶ τῆς αὐτῶν σωτηρίας ἀπίστου, καὶ τοῦ κινδύνου προσιόντος) ἢ οἱ μέλλοντες ναυμαχήσειν [ὑπὲρ τῆς φιλότητος] ὑπὲρ τῶν ἄθλων τῶν ἐν Σαλαμῖνι; Οἷς τοσοῦτον πανταχόθεν περιειστήκει πλῆθος πολεμίων, ὥστε ἐλάχιστον μὲν αὐτοῖς εἶναι τῶν παρόντων κακῶν τὸν θάνατον τὸν αὐτῶν προειδέναι, μεγίστην δὲ συμφορὰν ὑπὸ τῶν βαρβάρων εὐτυχησάντων τοὺς ὑπεκτεθέντας ἤλπιζον πείσεσθαι. Ἦπου διὰ τὴν ὑπάρχουσαν ἀπορίαν πολλάκις μὲν ἐδεξιώσαντο ἀλλήλους, εἰκότως δὲ σφᾶς αὐτοὺς ὠλοφύραντο, εἰδότες μὲν τὰς σφετέρας ναῦς ὀλίγας οὔσας, ὁρῶντες δὲ πολλὰς τὰς τῶν πολεμίων, ἐπι-

στάμενοι δὲ τὴν μὲν πόλιν ἠρημωμένην, τὴν δὲ χώραν πορθουμένην καὶ μεστὴν τῶν Βαρβάρων, [ἱερῶν δὲ καιομένων, ἁπάντων δ᾽ ἐγγὺς ὄντων τῶν δεινῶν,] ἀκούοντες δὲ ἐν ταὐτῷ συμμεμιγμένου Ἑλληνικοῦ καὶ βαρβαρικοῦ παιᾶνος, παρακελευσμοῦ δ᾽ ἀμφοτέρων, καὶ κραυγῆς τῶν διαφθειρομένων, καὶ τῆς θαλάττης μεστῆς τῶν νεκρῶν, καὶ πολλῶν μὲν συμπιπτόντων καὶ φιλίων καὶ πολεμίων ναυαγίων, ἀντιπάλου δὲ πολὺν χρόνον οὔσης τῆς ναυμαχίας, δοκοῦντες τοτὲ μὲν νενικηκέναι καὶ σεσῶσθαι, τοτὲ δ᾽ ἡττῆσθαι καὶ ἀπολωλέναι. Ἦπου διὰ τὸν παρόντα φόβον, πολλὰ μὲν ᾠήθησαν ἰδεῖν ὧν οὐκ εἶδον, πολλὰ δ᾽ ἀκοῦσαι ὧν οὐκ ἤκουσαν. Ποῖαι δὲ οὐχ ἱκετεῖαι θεῶν ἐγένοντο, ἢ θυσιῶν ἀναμνήσεις; ἔλεός τε παίδων, καὶ γυναικῶν πόθος, οἶκτος τε πατέρων καὶ μητέρων; λογισμός τε, εἰ δυστυχήσειαν, τῶν μελλόντων ἔσεσθαι κακῶν; Τὶς οὐκ ἂν θεῶν ἠλέησεν αὐτοὺς ὑπὲρ τοῦ μεγέθους τοῦ κινδύνου; ἢ τίς ἀνθρώπων οὐκ ἂν ἐδάκρυσεν; ἢ τίς τῆς τόλμης αὐτῶν οὐκ ἂν ἠγάσθη; Ἦ πολὺ πλεῖστον ἐκεῖνοι κατὰ τὴν ἀρετὴν ἁπάντων ἀνθρώπων διήνεγκαν καὶ ἐν τοῖς βουλεύμασι καὶ ἐν τοῖς τοῦ πολέμου κινδύνοις, ἐκλιπόντες μὲν τὴν πόλιν, εἰς τὰς ναῦς δ᾽ ἐμβάντες, τὰς δ᾽ αὐτῶν ψυχὰς, ὀλίγας οὔσας, ἀντιτάξαντες τῷ πλήθει τῷ τῆς Ἀσίας! ἐπέδειξαν δὲ πᾶσιν ἀνθρώποις, νικήσαντες τῇ ναυμαχίᾳ, ὅτι κρεῖττον μετ᾽ ὀλίγων ὑπὲρ τῆς ἐλευθερίας κινδυνεύειν, ἢ μετὰ πολλῶν βασιλευομένων ὑπὲρ τῆς αὐτῶν δουλείας! Πλεῖστα δὲ καὶ κάλλιστα ἐκεῖνοι ὑπὲρ τῆς τῶν Ἑλλήνων ἐλευθερίας συνεβάλοντο, στρατηγὸν μὲν Θεμιστοκλέα, ἱκανώτατον εἰπεῖν καὶ γνῶναι καὶ πρᾶξαι, ναῦς δὲ πλείους τῶν ἄλλων ἁπάντων συμμάχων, ἄνδρας δ᾽ ἐμπειροτάτους. Καὶ γάρ τοι τίνες ἂν τούτοις τῶν ἄλλων Ἑλλήνων ἤρισαν γνώμῃ, καὶ πλήθει, καὶ ἀρετῇ; Ὥστε δικαίως μὲν ἀναμφισβήτητα ἀριστεῖα τῆς ναυμαχίας ἔλαβον παρὰ τῆς Ἑλλάδος, εἰκότως δὲ τὴν εὐτυχίαν εὐτυχίαν ὁμονοοῦσαν τοῖς κινδύνοις

ἐκτήσαντο, γνησίαν δὲ καὶ αὐτόχθονα τοῖς ἐκ τῆς Ἀσίας βαρβάροις τὴν αὑτῶν ἀρετὴν ἐπεδείξαντο.

Ἐν μὲν οὖν τῇ ναυμαχίᾳ τοιούτους αὑτοὺς παρασχόντες, καὶ πολὺ πλεῖστον τῶν κινδύνων μετασχόντες, τῇ ἰδίᾳ ἀρετῇ κοινὴν τὴν ἐλευθερίαν τοῖς ἄλλοις ἐκτήσαντο· ὕστερον δὲ Πελοποννησίων διατειχιζόντων τὸν Ἰσθμὸν, καὶ ἀγαπώντων μὲν τῇ αὑτῶν σωτηρίᾳ, νομιζόντων δ᾽ ἀπηλλάχθαι τοῦ κατὰ θάλατταν κινδύνου, καὶ διανοουμένων τοὺς ἄλλους Ἕλληνας περιιδεῖν ὑπὸ τοῖς βαρβάροις γενομένους, ὀργισθέντες Ἀθηναῖοι συνεβούλευον αὐτοῖς, εἰ ταύτην τὴν γνώμην ἕξουσιν, περὶ ἅπασαν τὴν Πελοπόννησον τεῖχος περιβαλεῖν· εἰ γὰρ αὐτοὶ ὑπὸ Ἑλλήνων προδιδόμενοι μετὰ τῶν βαρβάρων ἔσονται, οὔτ᾽ ἐκείνοις δεήσειν χιλίων νεῶν, οὔτε τούτους ὠφελήσειν τὸ ἐν Ἰσθμῷ τεῖχος· ἀκινδύνως γὰρ ἔσεσθαι τὴν τῆς θαλάττης ἀρχὴν τοῦ βασιλέως. Διδασκόμενοι δὲ καὶ νομίζοντες αὐτοὶ μὲν ἄδικά τε ποιεῖν καὶ κακῶς βουλεύεσθαι, Ἀθηναίους δὲ δίκαιά τε λέγειν, καὶ τὰ βέλτιστα αὐτοῖς παραινεῖν, ἐβοήθησαν εἰς Πλαταιάς. Ἀποδράντων δὲ ὑπὸ νύκτα τῶν πλείστων συμμάχων ἐκ τῶν τάξεων διὰ τὸ πλῆθος τῶν πολεμίων, Λακεδαιμόνιοι μὲν καὶ Τεγεᾶται τοὺς βαρβάρους ἐτρέψαντο, Ἀθηναῖοι δὲ καὶ Πλαταιεῖς πάντας τοὺς Ἕλληνας ἐνίκων μαχόμενοι τοὺς ἀπογνόντας τῆς ἐλευθερίας καὶ ὑπομείναντας τὴν δουλείαν. Ἐν ἐκείνῃ δὲ τῇ ἡμέρᾳ καλλίστην τελευτὴν τοῖς προτέροις κινδύνοις ἐπιθέντες, βέβαιον μὲν τὴν ἐλευθερίαν τῇ Εὐρώπῃ κατειργάσαντο, ἐν ἅπασι δὲ τοῖς κινδύνοις δόντες ἔλεγχον τῆς ἑαυτῶν ἀρετῆς, καὶ μόνοι μεθ᾽ ἑτέρων, καὶ πεζομαχοῦντες καὶ ναυμαχοῦντες, καὶ πρὸς βαρβάρους καὶ πρὸς τοὺς Ἕλληνας, ὑπὸ πάντων ἠξιώθησαν, καὶ μεθ᾽ ὧν ἐκινδύνευον καὶ πρὸς οὓς ἐπολέμουν, ἡγεμόνες γενέσθαι τῆς Ἑλλάδος!

9. Ὑστέρῳ δὲ χρόνῳ Ἑλληνικοῦ πολέμου καταστάντος, διὰ ζῆλον τῶν γεγενημένων, καὶ φθόνον τῶν πεπραγμένων,

μέγα μὲν ἅπαντες Φρονοῦντες, μικρῶν δ' ἐγκλημάτων ἕκαστοι δεόμενοι, ναυμαχίας Ἀθηναίοις πρὸς Αἰγινήτας καὶ τοὺς ἐκείνων συμμάχους γενομένης, [ἑβδομήκοντα τριήρεις αὐτῶν ἐλάμβανον. Πολιορκούντων δὲ κατὰ τὸν αὐτὸν χρόνον Αἴγυπτόν τε καὶ Αἴγιναν, καὶ τῆς ἡλικίας ἀπούσης ἔν τε ταῖς ναυσὶ καὶ ἐν τῷ πεζῷ στρατεύματι, Κορίνθιοι καὶ οἱ ἐκείνων σύμμαχοι, ἡγούμενοι ἢ εἰς ἔρημον τὴν χώραν ἐμβαλεῖν, ἢ ἐξ Αἰγίνης ἄξειν τὸ στρατόπεδον, ἐξελθόντες πανδημεὶ Γεράνειαν κατέλαβον. Ἀθηναῖοι δὲ, τῶν μὲν ἀπόντων, τῶν δ' ἐγγὺς ὄντων, οὐδένα ἐτόλμησαν μεταπέμψασθαι· ταῖς δ' αὑτῶν ψυχαῖς πιστεύσαντες, καὶ τῶν ἐπιόντων καταΦρονήσαντες, οἱ γεραίτεροι καὶ οἱ τῆς ἡλικίας ἐντὸς γεγονότες, ἠξίουν αὐτοὶ μόνοι τὸν κίνδυνον ποιήσασθαι, οἱ μὲν ἐμπειρίᾳ τὴν ἀρετὴν, οἱ δὲ Φύσει κεκτημένοι, καὶ οἱ μὲν αὐτοὶ πολλαχοῦ ἀγαθοὶ γεγενημένοι, οἱ δὲ ἐκείνους μιμούμενοι, τῶν μὲν πρεσβυτέρων ἄρχειν ἐπισταμένων, τῶν δὲ νεωτέρων τὸ ἐπιταττόμενον ποιεῖν δυναμένων. Μυρωνίδου οὖν στρατηγοῦντος, ἀπαντήσαντες αὐτοὶ εἰς τὴν Μεγαρικὴν, ἐνίκων μαχόμενοι ἅπασαν τὴν δύναμιν τὴν ἐκείνων τοῖς ἤδη ἀπειρηκόσι καὶ τοῖς οὔπω δυναμένοις [τοὺς εἰς τὴν σφετέραν ἐμβαλεῖν ἀξιώσαντας εἰς τὴν ἀλλοτρίαν ἀπαντήσαντες]. τρόπαιον δὲ στήσαντες καλλίστου μὲν αὐτοῖς ἔργου, αἰσχίστου δὲ τοῖς πολεμίοις, οἱ μὲν οὐκέτι τοῖς σώμασιν, οἱ δὲ οὔπω δυνάμενοι, ταῖς δὲ ψυχαῖς ἀμΦότεροι κρείττους γενόμενοι, μετὰ καλλίστης δόξης εἰς τὴν αὐτὴν ἀπελθόντες, οἱ μὲν πάλιν ἐπαιδεύοντο, οἱ δὲ περὶ τῶν λοιπῶν ἐβουλεύοντο.

10. Καθ' ἕκασον μὲν οὖν ῥάδιον τὰ ὑπὸ πολλῶν κινδυνευθέντα ὑΦ' ἑνὸς ῥηθῆναι, οὐδὲ τὰ ἐν ἅπαντι τῷ χρόνῳ πραχθέντα ἐν μιᾷ ἡμέρᾳ δηλωθῆναι. Τίς γὰρ ἂν ἢ χρόνος, ἢ λόγος, ἢ ῥήτωρ ἱκανὸς γένοιτο μηνῦσαι τὴν τῶν ἐνθάδε κειμένων ἀνδρῶν ἀρετήν; Μετὰ πλείστων γὰρ πόνων καὶ Φανερωτάτων ἀγώνων καὶ καλλίστων κινδύνων ἐλευθέ-

ραν μὲν ἐποίησαν τὴν Ἑλλάδα, μεγίστην δ᾽ ἀπέδειξαν τὴν ἑαυτῶν πατρίδα, ἑβδομήκοντα μὲν ἔτη τῆς θαλάττης ἄρξαντες, ἀστασιάστους δὲ παρασχόντες τοὺς ξυμμάχους, οὐ τοῖς ὀλίγοις τοὺς πολλοὺς δουλεύειν ἀξιώσαντες, ἀλλὰ τὸ ἴσον ἔχειν ἅπαντας ἀναγκάσαντες, οὐδὲ τοὺς συμμάχους ἀσθενεῖς ποιοῦντες, ἀλλὰ κἀκείνους ἰσχυροὺς καθιστάντες, καὶ τὴν αὑτῶν δύναμιν τοσαύτην ἐπιδείξαντες, ὥσθ᾽ ὁ μέγας βασιλεὺς οὐκ ἔτι τῶν ἀλλοτρίων ἐπεθύμει, ἀλλ᾽ ἐδίδου τῶν ἑαυτοῦ, καὶ περὶ τῶν λοιπῶν ἐφοβεῖτο· καὶ οὔτε τριήρεις ἐν ἐκείνῳ τῷ χρόνῳ ἐκ τῆς Ἀσίας ἔπλευσαν, οὔτε τύραννος ἐν τοῖς Ἕλλησι κατέστη, οὔτε Ἑλληνὶς πόλις ὑπὸ τῶν βαρβάρων ἠνδραποδίσθη. Τοσαύτην σωφροσύνην καὶ δέος ἡ τούτων ἀρετὴ πᾶσιν ἀνθρώποις παρεῖχεν! [Ὧν ἕνεκα δεῖ μόνους καὶ προστάτας τῶν Ἑλλήνων καὶ ἡγεμόνας τῶν πόλεων γίγνεσθαι.] Ἐπέδειξαν δὲ καὶ ἐν ταῖς δυστυχίαις τὴν ἑαυτῶν ἀρετήν· ἀπολομένων γὰρ τῶν νεῶν ἐν Ἑλλησπόντῳ εἴτε ἡγεμόνος κακίᾳ, εἴτε θεῶν διανοίᾳ, καὶ ξυμφορᾶς ἐκείνης μεγίστης γενομένης καὶ ἡμῖν τοῖς δυστυχήσασι καὶ τοῖς ἄλλοις Ἕλλησιν, ἐδήλωσαν οὐ πολλῷ χρόνῳ ὕστερον, ὅτι ἡ τῆς πόλεως δύναμις τῆς Ἑλλάδος ἦν σωτηρία· ἑτέρων γὰρ ἡγεμόνων γενομένων, ἐνίκησαν μὲν ναυμαχοῦντες τοὺς Ἕλληνας οἱ πρότερον εἰς τὴν θάλατταν οὐκ ἐμβαίνοντες, ἔπλευσαν δ᾽ εἰς τὴν Εὐρώπην, δουλεύουσι δὲ πόλεις τῶν Ἑλλήνων, τύραννοι δ᾽ ἐγκαθεστᾶσιν, οἱ μὲν μετὰ τὴν ἡμετέραν ξυμφοράν, οἱ δὲ μετὰ τὴν νίκην τῶν βαρβάρων. Ὥστ᾽ ἄξιον ἦν ἐπὶ τῷδε τῷ τάφῳ τότε κείρασθαι τῇ Ἑλλάδι, καὶ πενθῆσαι τοὺς ἐνθάδε κειμένους, ὡς ξυγκαταθαπτομένης τῆς αὑτῶν ἐλευθερίας τῇ τούτων ἀρετῇ. Ὡς δυστυχὴς μὲν ἡ Ἑλλὰς τοιούτων ἀνδρῶν ὀρφανὴ γενομένη, εὐτυχὴς δ᾽ ὁ τῆς Ἀσίας βασιλεὺς ἑτέρων ἡγεμόνων λαβόμενος! τῇ μὲν γάρ, τούτων στερηθείσῃ, δουλεία περιέστηκε, τῷ δ᾽ ἄλλων ἀρξάντων, ζῆλος ἐγγίγνεται τῆς τῶν προγόνων διανοίας.

11. Ἀλλὰ ταῦτα μὲν ἐξήχθην ὑπὲρ πάσης ὀλοφύρασθαι τῆς Ἑλλάδος· ἐκείνων δὲ τῶν ἀνδρῶν ἄξιον καὶ ἰδίᾳ καὶ δημοσίᾳ μεμνῆσθαι, οἳ, φεύγοντες τὴν δουλείαν, καὶ περὶ τοῦ δικαίου μαχόμενοι, καὶ ὑπὲρ τῆς δημοκρατίας στασιάσαντες, πάντας πολεμίους κεκτημένοι, εἰς τὸν Πειραιᾶ κατῆλθον, οὐχ ὑπὸ νόμου ἀναγκασθέντες, ἀλλ' ὑπὸ τῆς φύσεως πεισθέντες, καινοῖς κινδύνοις τὴν παλαιὰν τῶν προγόνων ἀρετὴν μιμησάμενοι, ταῖς αὑτῶν ψυχαῖς κοινὴν τὴν πόλιν καὶ τοῖς ἄλλοις κτησάμενοι, θάνατον μετ' ἐλευθερίας αἱρούμενοι, ἢ βίον μετὰ δουλείας, οὐχ ἧττον ταῖς ξυμφοραῖς αἰσχυνόμενοι, ἢ τοῖς ἐχθροῖς ὀργιζόμενοι, μᾶλλον βουληθέντες ἐν τῇ αὑτῶν ἀποθνήσκειν, ἢ ζῆν τὴν ἀλλοτρίαν οἰκοῦντες, ξυμμάχους μὲν ὅρκους καὶ ξυνθήκας ἔχοντες, πολεμίους δὲ τοὺς πρότερον ὑπάρχοντας καὶ τοὺς πολίτας τοὺς ἑαυτῶν· ἀλλ' ὅμως, οὐ τὸ πλῆθος τῶν ἐναντίων φοβηθέντες, ἀλλ' ἐν τοῖς σώμασι τοῖς ἑαυτῶν κινδυνεύσαντες, τρόπαιον μὲν τῶν πολεμίων ἔστησαν, μάρτυρας δὲ τῆς αὑτῶν ἀρετῆς ἐγγὺς ὄντας τοῦδε τοῦ μνήματος τοὺς Λακεδαιμονίων τάφους παρέχονται. Καὶ γάρ τοι μεγάλην μὲν ἀντὶ μικρᾶς ἀπέδειξαν τὴν πόλιν, ὁμονοοῦσαν δὲ ἀντὶ στασιαζούσης ἀπέφηναν, τείχη δὲ ἀντὶ τῶν καθῃρημένων ἀνέστησαν. Οἱ δὲ κατελθόντες αὐτῶν, ἀδελφὰ τὰ βουλεύματα τοῖς ἔργοις τῶν ἐνθάδε κειμένων ἐπιδεικνύντες, οὐκ ἐπὶ τιμωρίαν τῶν ἐχθρῶν, ἀλλ' ἐπὶ σωτηρίαν τῆς πόλεως ἐτράποντο· καὶ οὔτε ἐλαττοῦσθαι δυνάμενοι, οὔτ' αὐτοὶ πλέον ἔχειν δεόμενοι, τῆς μὲν αὑτῶν ἐλευθερίας καὶ τοῖς βουλομένοις δουλεύειν μετέδοσαν, τῆς δ' ἐκείνων δουλείας αὐτοὶ μετέχειν οὐκ ἠξίωσαν. Ἔργοις δὲ μεγίστοις καὶ καλλίστοις ἀπελογήσαντο, ὅτι οὐ κακίᾳ τῇ αὑτῶν, οὐδ' ἀρετῇ τῶν πολεμίων, πρότερον ἐδυστήχησεν ἡ πόλις· εἰ γὰρ στασιάσαντες πρὸς ἀλλήλους, βίᾳ τῶν παρόντων Πελοποννησίων καὶ τῶν ἄλλων ἐχθρῶν, εἰς τὴν αὑτῶν οἷοί τε ἐγένοντο κατελθεῖν, δῆλον ὅτι ῥᾳδίως ἂν ὁμονοοῦντες πολεμεῖν αὐτοῖς ἐδύναντο.

12. Ἐκεῖνοι μὲν οὖν διὰ τοὺς ἐν Πειραιεῖ κινδύνους ὑπὸ πάντων ἀνθρώπων ζηλοῦνται· ἄξιον δὲ καὶ τοὺς ξένους τοὺς ἐνθάδε κειμένους ἐπαινέσαι, οἳ, τῷ πλήθει βοηθήσαντες καὶ περὶ τῆς ἡμετέρας σωτηρίας μαχόμενοι, πατρίδα τὴν ἀρετὴν ἡγησάμενοι, τοιαύτην τοῦ βίου τελευτὴν ἐποιήσαντο· ἀνθ᾽ ὧν ἡ πόλις αὐτοὺς καὶ ἐπένθησε, καὶ ἔθαψε δημοσίᾳ, καὶ ἔδωκεν ἔχειν αὐτοῖς τὸν ἅπαντα χρόνον τὰς αὐτὰς τιμὰς τοῖς ἀστοῖς. Οἱ δὲ νῦν θαπτόμενοι, βοηθήσαντες Κορινθίοις ὑπὸ παλαιῶν φίλων ἀδικουμένοις, καινοὶ ξύμμαχοι γενόμενοι, οὐ τὴν αὐτὴν γνώμην Λακεδαιμονίοις ἔχοντες (οἱ μὲν γὰρ τῶν ἀγαθῶν αὐτοῖς ἐφθόνουν, οἱ δὲ ἀδικουμένους αὐτοὺς ἠλέουν) οὔτε τῆς προτέρας ἔχθρας μεμνημένοι, ἀλλὰ τὴν παροῦσαν φιλίαν περὶ πολλοῦ ποιούμενοι, πᾶσιν ἀνθρώποις φανερὰν τὴν αὑτῶν ἀρετὴν ἐπεδείξαντο· ἐτόλμησαν γὰρ, μεγάλην ποιοῦντες τὴν Ἑλλάδα, οὐ μόνον περὶ τῆς αὑτῶν σωτηρίας κινδυνεύειν, ἀλλὰ καὶ ὑπὲρ τῆς τῶν πολεμίων ἐλευθερίας ἀποθνήσκειν· τοῖς γὰρ Λακεδαιμονίων ξυμμάχοις περὶ τῆς ἐκείνων ἐλευθερίας ἐμάχοντο· νικήσαντες μὲν γὰρ ἐκείνους τῶν αὐτῶν ἠξίουν· δυστυχήσαντες δὲ βέβαιον τὴν δουλείαν τοῖς ἐν τῇ Πελοποννήσῳ κατέλιπον.

13. Ἐκείνοις μὲν οὖν οὕτω διακειμένοις ὁ βίος οἰκτρὸς καὶ ὁ θάνατος εὐκτός· οὗτοι δὲ καὶ ζῶντες καὶ ἀποθανόντες ζηλωτοὶ, παιδευθέντες μὲν ἐν τοῖς τῶν προγόνων ἀγαθοῖς, ἄνδρες δὲ γενόμενοι τήν τε ἐκείνων δόξαν διασώσαντες καὶ τὴν αὑτῶν ἀρετὴν ἐπιδείξαντες. Πολλῶν μὲν γὰρ καὶ καλῶν αἴτιοι γεγένηνται τῇ ἑαυτῶν πατρίδι, ἐπηνώρθωσαν δὲ τὰ ἐφ᾽ ἑτέρων δυστυχηθέντα, πόῤῥω δ᾽ ἀπὸ τῆς αὑτῶν τὸν πόλεμον κατέστησαν. Ἐτελεύτησαν δὲ τὸν βίον, ὥσπερ χρὴ τοὺς ἀγαθοὺς ἀποθνήσκειν, τῇ μὲν πατρίδι τὰ τροφεῖα ἀποδόντες, τοῖς δὲ θρέψασι λύπας καταλιπόντες. Ὥστ᾽ ἄξιον τοῖς ζῶσι τούτους ποθεῖν, καὶ

σφᾶς αὐτοὺς ὀλοφύρεσθαι, καὶ τοὺς προσήκοντας αὐτῶν ἐλεεῖν τοῦ ἐπιλοίπου βίου· τίς γὰρ αὐτοῖς ἔτι ἡδονὴ καταλείπεται, τοιούτων ἀνδρῶν θαπτομένων, οἳ, πάντα περὶ ἐλάττονος τῆς ἀρετῆς ἡγούμενοι, αὐτοὺς μὲν ἀπεστέρησαν βίου, χήρας δὲ τὰς γυναῖκας ἐποίησαν, ὀρφανοὺς δὲ τοὺς αὐτῶν παῖδας ἀπέλιπον, ἐρήμους δ᾽ ἀδελφοὺς καὶ πατέρας καὶ μητέρας κατέστησαν; Πολλῶν δὲ καὶ δεινῶν ὑπαρχόντων, τοὺς μὲν παῖδας αὐτῶν ζηλῶ, ὅτι νεώτεροί εἰσιν ἢ ὥστε εἰδέναι οἵων πατέρων ἐστέρηνται· ἐξ᾽ ὧν δ᾽ οὗτοι γεγόνασιν οἰκτείρω, ὅτι πρεσβύτεροι, ἢ ὥς τε ἐπιλαθέσθαι τῆς δυστυχίας τῆς ἑαυτῶν. Τί γὰρ ἂν τούτων ἀνιαρώτερον γένοιτο, ἢ τεκεῖν μὲν καὶ θρέψαι καὶ θάψαι τοὺς αὐτῶν, ἐν δὲ τῷ γήρᾳ ἀδυνάτους μὲν εἶναι τῷ σώματι, πασῶν δ᾽ ἀπεστερημένους τῶν ἐλπίδων, ἀφίλους καὶ ἀπόρους γεγονέναι; ὑπὸ δὲ τῶν αὐτῶν πρότερον ζηλοῦσθαι καὶ νῦν ἐλεεῖσθαι; ποθεινότερον δ᾽ αὐτοῖς εἶναι τὸν θάνατον τοῦ βίου; ὅσῳ γὰρ ἄνδρες ἀμείνους ἦσαν, τοσούτῳ τοῖς καταλειπομένοις τὸ πένθος μεῖζον. Πῶς δ᾽ αὐτοὺς χρὴ λῆξαι τῆς λύπης; Πότερον ἐν ταῖς τῆς πόλεως ξυμφοραῖς; ἀλλὰ τότε αὐτῶν εἰκὸς καὶ τοὺς ἄλλους μεμνῆσθαι. Ἀλλ᾽ ἐν ταῖς εὐτυχίαις ταῖς κοιναῖς; ἀλλ᾽ ἱκανὸν λυπῆσαι, τῶν μὲν σφετέρων τέκνων τετελευτηκότων, τῶν δὲ ζώντων ἀπολαυόντων τῆς τούτων ἀρετῆς. Ἀλλ᾽ ἐν τοῖς ἰδίοις κινδύνοις; ὅταν ὁρῶσι τοὺς μὲν πρότερον ὄντας φίλους φεύγοντας τὴν αὐτῶν ἀπορίαν, τοὺς δ᾽ ἐχθροὺς μεγαφρονοῦντας ἐπὶ ταῖς δυστυχίαις ταῖς τούτων; Μόνην δ᾽ ἄν μοι δοκοῦμεν ταύτην τοῖς ἐνθάδε κειμένοις ἀποδοῦναι χάριν, εἰ τοὺς μὲν τοκέας αὐτῶν ὁμοίως, ὥσπερ ἐκεῖνοι, περὶ πολλοῦ ποιοίμεθα· τοὺς δὲ παῖδας οὕτως ἀσπαζοίμεθα ὥσπερ αὐτοὶ πατέρες ὄντες· ταῖς δὲ γυναιξὶν εἰ τοιούτους βοηθοὺς ἡμᾶς αὐτοὺς παρέχοιμεν, οἷοί περ ἐκεῖνοι ζῶντες ἦσαν. Τίνας γὰρ ἂν εἰκότως μᾶλλον τιμῶμεν τῶν ἐνθάδε κειμένων; τίνας δ᾽ ἂν τῶν ζώντων δικαιότερον περὶ πολλοῦ

ποιοίμεθα, ἢ τοὺς τούτοις προσήκοντας; οἳ τῆς μὲν τούτων ἀρετῆς τὸ ἴσον τοῖς ἄλλοις ἀπέλαυσαν, ἀποθανόντων δὲ μόνοι γνησίως τῆς δυστυχίας μετέχουσιν.

14. Ἀλλὰ γὰρ οὐκ οἶδ᾽ ὅτι δεῖ τοιαῦτα ὀλοφύρεσθαι· οὐ γὰρ ἐλανθάνομεν ἡμᾶς αὐτοὺς ἅπαντες ὄντες θνητοί. Ὥστε τί δεῖ, ἃ πάλαι προσεδοκῶμεν πείσεσθαι, ὑπὲρ τούτων νῦν ἄχθεσθαι; ἢ λίαν οὕτω βαρέως φέρειν ἐπὶ ταῖς τῆς φύσεως ξυμφοραῖς, ἐπισταμένους ὅτι ὁ θάνατος κοινὸς καὶ τοῖς χειρίστοις καὶ τοῖς βελτίστοις; οὔτε γὰρ τοὺς πονηροὺς ὑπερορᾷ, οὔτε τοὺς ἀγαθοὺς θαυμάζει, ἀλλ᾽ ἴσον ἑαυτὸν παρέχει πᾶσιν. Εἰ μὲν γὰρ οἷόν τε ἦν ἐν τῷ πολέμῳ κινδύνους διαφυγοῦσιν ἀθανάτους εἶναι τὸν λοιπὸν χρόνον, ἄξιον ἦν τοῖς ζῶσι τὸν ἅπαντα χρόνον πενθεῖν τοὺς τεθνεῶτας· νῦν δὲ ἥτε φύσις καὶ νόσων ἥττων καὶ γήρως, ὅ, τε, δαίμων ὁ τὴν ἡμετέραν μοῖραν εἰληχὼς ἀπαραίτητος. Ὥστε προσήκει τούτους εὐδαιμονεστάτους ἡγεῖσθαι, οἵτινες ὑπὲρ μεγίστων καὶ καλλίστων κινδυνεύσαντες, οὕτως τὸν βίον ἐτελεύτησαν, οὐκ ἐπιτρέψαντες περὶ αὑτῶν τῇ τύχῃ, οὐδὲ ἀναμείναντες τὸν αὐτόματον θάνατον, ἀλλ᾽ ἐκλεξάμενοι τὸν κάλλιστον. Καὶ γάρ τοι ἀγήρατοι μὲν αὐτῶν αἱ μνῆμαι, ζηλωταὶ δὲ [αὐτῶν] ὑπὸ πάντων ἀνθρώπων αἱ τιμαί· οἳ πενθοῦνται μὲν διὰ τὴν φύσιν ὡς θνητοὶ, ὑμνοῦνται δὲ ὡς ἀθάνατοι διὰ τὴν ἀρετήν. Καὶ γάρ τοι θάπτονται δημοσίᾳ, καὶ ἀγῶνες τίθενται ἐπ᾽ αὐτοῖς ῥώμης καὶ σοφίας καὶ πλούτου, ὡς ἀξίους ὄντας τοὺς ἐν τῷ πολέμῳ τετελευτηκότας ταῖς αὐταῖς τιμαῖς τοὺς ἀθανάτους τιμᾶσθαι. Ἐγὼ μὲν οὖν αὐτοὺς καὶ μακαρίζω τοῦ θανάτου, καὶ ζηλῶ, καὶ μόνοις τούτοις ἀνθρώπων οἶμαι κρεῖττον εἶναι γενέσθαι, οἵτινες, ἐπειδὴ θνητῶν σωμάτων ἔτυχον, ἀθάνατον μνήμην διὰ τὴν ἀρετὴν αὐτῶν κατέλιπον· ὅμως δ᾽ ἀνάγκη τοῖς ἀρχαίοις ἔθεσι χρῆσθαι, καὶ θεραπεύοντας τὸν πάτριον νόμον ὀλοφύρεσθαι τοὺς θαπτομένους.

# ΙΣΟΚΡΑΤΟΥΣ

# ΑΡΧΙΔΑΜΟΣ.

## ΥΠΟΘΕΣΙΣ

## ΤΟΥ ΑΡΧΙΔΑΜΟΥ

### *ΑΔΗΛΟΥ ΤΟΥ ΓΡΑΨΑΝΤΟΣ.*

Μετὰ τὰ Λευκτρικὰ κατέτρεχον τὴν Λακεδαίμονα Θηβαῖοι, καὶ πολλάκις αὐτὴν ἐκάκωσαν, ὡς καὶ τὰς Λακεδαιμονίων γυναῖκας ἀπαντῆσαι Λακεδαιμονίοις, συνεχῶς φεύγουσι, καὶ εἰπεῖν, Μὴ καὶ δεύτερον ὑμᾶς ἔχομεν ἐν τῇ γαστρὶ δέξασθαι; Καὶ οὕτω συστραφέντες, ἐν Μαντινείᾳ ἐνίκησαν, τῶν Ἀθηναίων ἱππέων καλῶς παραταξαμένων. Μετὰ τὰ ἐν Μαντινείᾳ οὖν ἔπεμψαν Λακεδαιμόνιοι πρὸς Θηβαίους, αἰτοῦντες αὐτοὺς τὴν εἰρήνην· οἱ δὲ ὑπέσχοντο αὐτοῖς ἡσυχάσειν, ἢν Μεσσήνην ἀνοικίσωσι, καὶ αὐτόνομον ἐάσωσι. Τῶν οὖν ἄλλων συμβουλευόντων Λακεδαιμονίοις, ἀνοικίσαι, Ἀρχίδαμος ὁ νεώτερος συμβουλεύει Λακεδαιμονίοις, μὴ ἀνοικίσαι. Κατάγεται δ' οὗτος ὁ μικρὸς Ἀρχίδαμος· Ζευξίδαμος, οὗ Ἀρχίδαμος, οὗ Ἆγις, οὗ Ἀγησίλαος, οὗ Ἀρχίδαμος. Καὶ οἱ μὲν λέγουσιν, ὅτι πέμψας Ἀρχίδαμος ἐν Ἀθήναις, τὸν λόγον παρὰ Ἰσοκράτους ἐδέξατο· ἄλλοι δέ φασι, γυμνασίαν εἶναι τὸν λόγον Ἰσοκράτους, Τίνας ἂν εἴποι λόγους Ἀρχίδαμος, συμβουλεύων Λακεδαιμονίοις. Καὶ ἡ μὲν ὑπόθεσις αὕτη· στάσις δὲ τῷ λόγῳ πραγματική· κεφάλαιον δὲ τὸ ξυμφέρον.

# ΕΤΕΡΑ ΥΠΟΘΕΣΙΣ ΑΡΧΙΔΑΜΟΥ

## *ΕΚ ΤΩΝ ΔΙΟΝΥΣΙΟΥ ΤΟΥ ΑΛΙΚΑΡΝΑΣΣΕΩΣ.*

Τίς δ' ἂν μᾶλλον πείσειε καὶ πόλιν [καὶ ἄνδρας τοῦ ῥήτορος; πολλαχῇ μὲν καὶ ἄλλῃ, μάλιστα δ' ἐν τῷ πρὸς Λακεδαιμονίους γραφέντι λόγῳ, ὃς ἐπιγράφεται μὲν Ἀρχίδαμος, ὑπόθεσιν δὲ προείληφε τὴν περὶ τοῦ μὴ προέσθαι Μεσσήνην Βοιωτοῖς, μηδὲ ποιεῖν τὸ προσταττόμενον ὑπὸ τῶν ἐχθρῶν.

Ἠτύχητο γὰρ δὴ τοῖς Λακεδαιμονίοις ἥτε περὶ Λεῦκτρα μάχη, καὶ πολλαὶ μετ' ἐκείνην ἕτεραι· καὶ τὰ μὲν Θηβαίων πράγματα ἤνθη τε, καὶ εἰς μέγεθος ἀρχῆς προεληλύθει, τὰ δὲ τῆς Σπάρτης ταπεινὰ, καὶ ἀνάξια τῆς ἀρχαίας ἡγεμονίας ἐγεγόνει. Τελευτῶσα γοῦν, ἵνα τύχῃ τῆς εἰρήνης ἡ πόλις, ἐβουλεύετο εἰ χρὴ Μεσσηνίας ἀποστῆναι, ταύτην ἐπιτιθέντων αὐτῇ Βοιωτῶν τὴν ἀνάγκην. Ὁρῶν οὖν αὐτὴν ἀνάξια πράττειν μέλλουσαν τῶν προγόνων, τόνδε τὸν λόγον συνετάξατο Ἀρχιδάμῳ, νέῳ μὲν ὄντι, καὶ οὔπω βασιλεύοντι, ἐλπίδας δὲ πολλὰς ἔχοντι ταύτης τεύξεσθαι τῆς τιμῆς. Ἐν ᾧ διεξέρχεται πρῶτον μὲν, ὡς δικαίως ἐκτήσαντο Μεσσήνην Λακεδαιμόνιοι, παραδόντων τε αὐτὴν τῶν Κρεσφόντου παίδων, ὅτε ἐξέπεσον ἐκ τῆς ἀρχῆς, καὶ τοῦ θεοῦ προστάξαντος δέξασθαι, καὶ τιμωρεῖν τοῖς ἀδικουμένοις, πρὸς δὲ τούτοις, ἐπικυρώσαντος μὲν τὴν κτῆσιν τοῦ πολέμου, κάτοχον δὲ καὶ βέβαιον πεποιηκότος τοῦ χρόνου. Διδάσκει δ' ὡς οὐ Μεσσηνίοις, τοῖς οὐκέτ' οὖσιν, ἀλλὰ δούλοις καὶ Εἵλωσιν ὁρμητήριον καὶ καταφυγὴν παρέξουσι τὴν πόλιν. Διεξέρχεταί τε τοὺς κινδύνους τῶν προγόνων, οὓς ὑπέμειναν ἕνεκα τῆς ἡγεμονίας, καὶ τῆς δόξης ὑπομιμνήσκει τῆς παρὰ τοῖς Ἕλλησιν ὑπαρχούσης περὶ αὐτῶν. Παραινεῖ δὲ μὴ συγκαταπίπτειν ταῖς τύχαις, μηδ' ἀπογιγνώσκειν τὰς μεταβολὰς, ἐνθυ-

μουμένους, ὅτι πολλοὶ μὲν ἤδη, μείζω δύναμιν ἔχοντες ἢ Θηβαῖοι, ὑπὸ τῶν ἀσθενεστέρων ἐκρατήθησαν, πολλοὶ δ' εἰς πολιορκίαν κατακλεισθέντες, καὶ δεινότερα ἢ Λακεδαιμόνιοι πάσχοντες, διέφθειραν τοὺς ἐπιστρατεύσαντας. Καὶ παράδειγμα ποιεῖται τὴν Ἀθηναίων πόλιν, ἥτις ἐκ πολλῆς εὐδαιμονίας ἀνάστατος γενομένη, τοὺς ἐσχάτους ὑπέστη κινδύνους, ἵνα μὴ τοῖς βαρβάροις ποιῇ τὸ προσταττόμενον. Παρακελεύεται δὲ καὶ καρτερεῖν ἐπὶ τοῖς παροῦσι, καὶ θαῤῥεῖν περὶ τῶν μελλόντων· ἐπισταμένους ὅτι τὰς τοιαύτας συμφορὰς αἱ πόλεις ἐπανορθοῦνται πολιτείᾳ χρηστῇ, καὶ πολέμων ἐμπειρίαις, ἐν οἷς προεῖχεν ἡ Σπάρτη τῶν ἄλλων πόλεων. Οἴεται δὲ δεῖν, οὐ τοὺς κακῶς πράττοντας, εἰρήνης ἐπιθυμεῖν, οἷς ἐκ τῆς καινουργίας ἐπὶ τὸ κρεῖττον μεταβάλλειν τὰ πράγματα ἐλπὶς, ἀλλὰ τοὺς εὐτυχοῦντας· ἐν γὰρ τῷ ἀκινδύνῳ τὴν τῶν παρόντων ἀγαθῶν εἶναι φυλακήν.

Πολλὰ δὲ καὶ ἄλλα πρὸς τούτοις διεξελθὼν, ὅσα καὶ κοινῇ καὶ ἰδίᾳ τοῖς ἐπιφανεστάτοις αὐτῶν ἐπράχθη κατὰ τοὺς πολέμους λαμπρὰ ἔργα, καὶ ὅσης αἰσχύνης ἄξια δράσουσι, καὶ ὡς διαβληθήσονται παρὰ τοῖς Ἕλλησιν ἐπιλογισάμενος, καὶ ὅτι πάντοθεν αὐτοῖς ἐπικουρία τις ἔσαι τὸν ἀγῶνα ποιουμένοις, καὶ παρὰ θεῶν, καὶ παρὰ συμμάχων, καὶ παρὰ πάντων ἀνθρώπων, οἷς ἐπίφθονος ἡ Θηβαίων δύναμις αὐξομένη· καὶ τὴν κατέχουσαν ἀκοσμίαν καὶ ταραχὴν τὰς πόλεις, ἐπιτροπευόντων τῆς Ἑλλάδος Βοιωτῶν, ἐπιδειξάμενος· τελευτῶν, εἰ καὶ μηδὲν τούτων μέλλοι γίνεσθαι, μηδ' ὑπολείποιτό τις ἄλλη σωτηρίας ἐλπὶς, ἐκλιπεῖν κελεύει τὴν πόλιν, διδάσκων αὐτοὺς ὡς χρὴ παῖδας μὲν καὶ γυναῖκας, καὶ τὸν ἄλλον ὄχλον εἴς τε Σικελίαν ἐκπέμψαι, καὶ Ἰταλίαν, καὶ τ' ἄλλα χωρία τὰ φίλια, αὐτοὺς δὲ καταλαβομένους τόπον ὅστις ἂν ὀχυρώτατος ᾖ, καὶ πρὸς τὸν πόλεμον ἐπιτηδειότατος, ἄγειν καὶ φέρειν τοὺς πολεμίους καὶ κατὰ γῆν καὶ κατὰ θά-

λατταν. Οὐδεμίαν γὰρ ἀξιώσειν δύναμιν ὁμόσε χωρεῖν ἀνδράσι, κρατίστοις μὲν τὰ πολέμια τῶν Ἑλλήνων, ἀπονενοημένως δὲ πρὸς τὸ ζῆν διακειμένοις, δικαίαν δ' ὀργὴν καὶ πρόφασιν εὐπρεπῆ τῆς ἀνάγκης ἔχουσι.

Ταῦτα γὰρ οὐ Λακεδαιμονίοις μόνον συμβουλεύειν φαίην ἂν αὐτὸν ἔγωγε, ἀλλὰ καὶ τοῖς ἄλλοις Ἕλλησι, καὶ πᾶσιν ἀνθρώποις, πολλῷ κρεῖττον ἁπάντων φιλοσόφων, οἳ τέλος ποιοῦνται τοῦ βίου τὴν ἀρετὴν, καὶ τὸ καλόν.

---

# ΑΡΧΙΔΑΜΟΣ

Ἴσως τινὲς ὑμῶν θαυμάζουσιν, ὅτι τὸν ἄλλον χρόνον ἐμμεμενηκὼς τοῖς τῆς πόλεως νομίμοις, ὡς οὐκ οἶδ' εἴ τις ἄλλος τῶν ἡλικιωτῶν, τοσαύτην πεποίημαι τὴν μεταβολὴν, ὥστε περὶ ὧν ὀκνοῦσιν οἱ πρεσβύτεροι λέγειν, περὶ τούτων, νεώτερος ὢν, παρελήλυθα συμβουλεύσων. Ἐγὼ δὲ, εἰ μέν τις ἄλλος τῶν εἰθισμένων ἐν ὑμῖν ἀγορεύειν, ἀξίως ἦν τῆς πόλεως εἰρηκὼς, ἡσυχίαν ἂν ἦγον· νῦν δὲ, ὁρῶν τοὺς μὲν συναγορεύοντας οἷς οἱ πολέμιοι προστάττουσι, τοὺς δ' οὐκ ἐρρωμένως ἐναντιουμένους, τοὺς δὲ παντάπασιν ἀποσεσιωπηκότας, ἀνέστην ἀποφανούμενος ἃ γιγνώσκω περὶ τούτων· αἰσχρὸν νομίσας, εἰ τὴν ἰδίαν τάξιν τοῦ βίου διαφυλάττων, προήσομαι τὴν πόλιν ἀναξίως προφεισαμένην ἑαυτῆς.

β΄. Ἡγοῦμαι δὲ, εἰ καὶ περὶ τῶν ἄλλων πρέπει τοὺς τηλικούτους, περί γε τοῦ πολεμεῖν, ἢ μὴ, προσήκειν μάλιστα τούτοις συμβουλεύειν, οἵπερ καὶ τῶν κινδύνων πλεῖστον μέρος μεθέξουσιν· ἄλλως τε δὴ καὶ τοῦ γνῶναί τι τῶν δεόντων, ἐν κοινῷ καθεστῶτος ἡμῖν. Εἰ μὲν γὰρ ἦν ἀποδεδειγμένον, ὥστε τοὺς μὲν πρεσβυτέρους περὶ ἁπάντων εἰδέναι τὸ βέλτιστον, τοὺς δὲ νεωτέρους περὶ μηδενὸς ὀρθῶς γιγνώσκειν, καλῶς ἂν εἶχεν ἀπείργειν ἡμᾶς τοῦ

συμβουλεύειν· ἐπειδὴ δὲ οὐ τῷ πλήθει τῶν ἐτῶν πρὸς τὸ φρονεῖν εὖ διαφέρομεν ἀλλήλων, ἀλλὰ τῇ φύσει καὶ ταῖς ἐπιμελείαις, πῶς οὐκ ἐπ᾽ ἀμφοτέρων χρὴ τῶν ἡλικιῶν πεῖραν λαμβάνειν, ἵν᾽ ἐξ ἁπάντων ὑμῖν ἐξῇ τῶν ῥηθέντων ἑλέσθαι τὰ συμφορώτατα. Θαυμάζω δὲ, ὅσοι τριηρῶν μὲν ἡγεῖσθαι, καὶ στρατοπέδων ἄρχειν ἀξιοῦσιν ἡμᾶς, ὑπὲρ ὧν μὴ καλῶς βουλευσάμενοι, πολλαῖς ἂν συμφοραῖς καὶ μεγάλαις τὴν πόλιν περιβάλοιμεν· εἰπεῖν δ᾽ ἃ γιγνώσκομεν, περὶ ὧν ὑμεῖς μέλλετε κρίνειν, οὐκ οἴονται δεῖν ἡμᾶς ἐν οἷς κατορθώσαντες μὲν, ἅπαντας ἂν ὠφελήσαιμεν, διαμαρτόντες δὲ τῆς ἡμετέρας γνώμης, αὐτοὶ μὲν ἴσως ἂν φαυλότεροι δόξαιμεν εἶναι, τὸ δὲ κοινὸν οὐδὲν ἂν ζημιώσαιμεν. Οὐ μὴν ὡς ἐπιθυμῶν τοῦ λέγειν, οὐδ᾽ ὡς ἄλλως πως παρεσκευασμένος ζῆν ἢ τὸν παρελθόντα χρόνον, οὕτως εἴρηκα περὶ τούτων· ἀλλὰ βουλόμενος ὑμᾶς προτρέψαι, μηδεμίαν ἀποδοκιμάζειν τῶν ἡλικιῶν, ἀλλ᾽ ἐν ἁπάσαις ζητεῖν, εἴ τις δύναται περὶ τῶν παρόντων πραγμάτων εἰπεῖν ἀγαθόν τι.

γ΄. Ὡς ἐξ οὗ τὴν πόλιν οἰκοῦμεν, οὐδεὶς οὔτε πόλεμος, οὔτε κίνδυνος περὶ τηλικούτων τὸ μέγεθος ἡμῖν γέγονε, περὶ ὅσων νῦν βουλευσόμενοι συνεληλύθαμεν. Πρότερον μὲν γὰρ ὑπὲρ τοῦ τῶν ἄλλων ἄρχειν ἠγωνιζόμεθα, νυνὶ δὲ ὑπὲρ τοῦ μὴ ποιεῖν αὐτοὶ τὸ προσταττόμενον· ὃ σημεῖον ἐλευθερίας ἐστὶν, ὑπὲρ ἧς οὐδὲν ὅ,τι τῶν δεινῶν οὐχ ὑπομενετέον, οὐ μόνον ἡμῖν, ἀλλὰ καὶ τοῖς ἄλλοις τοῖς μηδὲ ἀνάνδρως διακειμένοις, ἀλλὰ καὶ κατὰ μικρὸν ἀρετῆς ἀντιποιουμένοις. Ἐγὼ μὲν οὖν (εἰ δεῖ μέ τι τῶν ἰδίων εἰπεῖν) ἑλοίμην ἂν ἀποθανεῖν ἤδη, μὴ ποιήσας τὸ προσταττόμενον μᾶλλον, ἢ πολὺ πλείω χρόνον ζῆν τοῦ τεταγμένου, ποιήσας ἃ Θηβαῖοι κελεύουσιν. Αἰσχυνοίμην γὰρ ἂν, εἰ γεγονὼς μὲν ἀφ᾽ Ἡρακλέους, τοῦ δὲ πατρὸς βασιλεύοντος, αὐτὸς δ᾽ ἐπίδοξος ὢν τυχεῖν τῆς τιμῆς ταύτης, περιΐδοιμι, καθ᾽ ὅσον ἐστὶν ἐν ἐμοὶ, τὴν χώραν, ἣν ἡμῖν οἱ

πρόγονοι κατέλιπον, ταύτην τοὺς οἰκέτας τοὺς ἡμετέρους ἔχοντας· ἀξιῶ δὲ καὶ ὑμᾶς τὴν αὐτὴν ἐμοὶ γνώμην ἔχειν, ἐνθυμηθέντας, ὅτι μέχρι μὲν ταύτης τῆς ἡμέρας δεδυστυχηκέναι δοκοῦμεν ἐν τῇ μάχῃ τῇ πρὸς Θηβαίους, καὶ τοῖς μὲν σώμασι κρατηθῆναι διὰ τῶν οὐκ ὀρθῶς ἡγησαμένων, τὰς δὲ ψυχὰς ἔτι καὶ νῦν ἀηττήτους ἴσχειν. Εἰ δὲ, φοβηθέντες τοὺς ἐπιόντας κινδύνους, προησόμεθά τι τῶν ἡμετέρων, βεβαιώσομεν τὰς Θηβαίων ἀλαζονείας, καὶ πολὺ σεμνότερον τρόπαιον τοῦ περὶ Λεῦκτρα, καὶ φανερώτερον στήσωμεν καθ᾽ ἡμῶν αὐτῶν. Τὸ μὲν γὰρ ἀτυχίας, τὸ δὲ τῆς ἡμετέρας διανοίας ἔσται γεγενημένον· Μηδεὶς οὖν ὑμᾶς πείσῃ τοιαύταις αἰσχύναις τὴν πόλιν περιβαλεῖν.

δ. Καίτοι λίαν προθύμως οἱ σύμμαχοι συμβεβουλεύκασιν ὑμῖν, ὡς χρὴ Μεσσήνην ἀφέντας, ποιήσασθαι τὴν εἰρήνην. Οἷς ὑμεῖς δικαίως ἂν ὀργίζοισθε πολὺ μᾶλλον, ἢ τοῖς ἐξ ἀρχῆς ἀποστᾶσιν ὑμῶν. Ἐκεῖνοι μὲν γὰρ, ἀφέμενοι τῆς ὑμετέρας φιλίας, τὰς αὑτῶν πόλεις ἀπώλεσαν, εἰς στάσεις καὶ σφαγὰς καὶ πολιτείας πονηρὰς ἐμβαλόντες· οὗτοι δὲ ὑμᾶς κακῶς ποιήσοντες ἥκουσι· τὴν γὰρ δόξαν, ἣν ἡμῖν οἱ πρόγονοι μετὰ πολλῶν κινδύνων ἐν ἑπτακοσίοις ἔτεσι κατέλιπον, ταύτην ἐν ὀλίγῳ χρόνῳ πείθουσιν ὑμᾶς ἀποβαλεῖν· ἧς οὔτ᾽ ἀπρεπεστέραν τῇ Λακεδαίμονι οὔτε δεινοτέραν οὐδέποτ᾽ ἂν εὑρεῖν ἠδυνήθησαν. Εἰς τοῦτο δ᾽ ἥκουσι πλεονεξίας, καὶ τοσαύτην κατεγνώκασιν ἡμῶν ἀνανδρίαν, ὥστε πολλάκις ἡμᾶς ἀξιώσαντες ὑπὲρ τῆς αὑτῶν πολεμεῖν, ὑπὲρ Μεσσήνης οὐκ οἴονται δεῖν ἡμᾶς κινδυνεύειν· ἀλλ᾽ ἵν᾽ αὐτοὶ τὴν σφετέραν αὐτῶν ἀσφαλῶς καρπῶνται, πειρῶνται διδάσκειν ἡμᾶς, ὡς χρὴ τοῖς ἐχθροῖς τῆς ἡμετέρας παραχωρῆσαι, καὶ πρὸς τοῖς ἄλλοις ἐπαπειλοῦσιν, ὡς, εἰ μὴ ταῦτα συγχωρήσομεν, ποιησόμενοι τὴν εἰρήνην κατὰ σφᾶς αὐτούς. Ἐγὼ δὲ οὐ τοσοῦτον χαλεπώτερον ἡγοῦμαι τὸν κίνδυνον ἡμῖν ἔσεσθαι τὸν ἄνευ τούτων, ὅσον καλλίω καὶ λαμπρότερον, καὶ παρὰ πᾶσιν ἀν-

θρώποις ὀνομαστότερον. Τὸ γὰρ μὴ δι᾽ ἑτέρων, ἀλλὰ δι᾽ ἡμῶν αὐτῶν πειρᾶσθαι σώζεσθαι, καὶ περιγενέσθαι τῶν ἐχθρῶν, ὁμολογούμενον τοῖς ἄλλοις τῆς πόλεως ἔργοις ἐστίν. Οὐδὲ πώποτε δὲ λόγους ἀγαπήσας, ἀλλ᾽ ἀεὶ νομίζων τοὺς περὶ ταῦτα διατρίβοντας ἀργοτέρους εἶναι πρὸς τὰς πράξεις, νῦν οὐδὲν ἂν περὶ πλείονος ποιησαίμην, ἢ δυνηθῆναι περὶ τῶν προκειμένων ὡς βούλομαι διελθεῖν. Ἐν γὰρ τῷ παρόντι διὰ τούτων ἐλπίζω μεγίστων ἀγαθῶν αἴτιος ἂν γενέσθαι τῇ πόλει.

ε΄. Πρῶτον μὲν οὖν οἶμαι δεῖν ὑμᾶς ὑπομνῆσαι, ὃν τρόπον ἐκτησάμεθα Μεσσήνην, καὶ δι᾽ ἃς αἰτίας ἐν Πελοποννήσῳ κατῳκήσατε, Δωριεῖς τὸ παλαιὸν ὄντες. Διὰ τοῦτο δὲ προλήψομαι πόῤῥωθεν, ἵν᾽ ἐπίστησθε, διότι ταύτην ὑμᾶς τὴν χώραν ἀποστερεῖν ἐπιχειροῦσιν, ἣν ὑμεῖς οὐδὲν ἧττον ἢ τὴν ἄλλην Λακεδαίμονα κέκτησθαι δικαίως.

ϛ΄. Ἐπεὶ γὰρ Ἡρακλῆς μετήλλαξε τὸν βίον, θεὸς ἐκ θνητοῦ γενόμενος, κατὰ μὲν ἀρχὰς οἱ παῖδες αὐτοῦ διὰ τὴν τῶν ἐχθρῶν δύναμιν ἐν πολλοῖς πλάνοις καὶ κινδύνοις ἦσαν, τελευτήσαντος δ᾽ Εὐρυσθέως, κατῴκησαν ἐν Δωριεῦσιν. Ἐπὶ δὲ τῆς τρίτης γενεᾶς ἀφίκοντο εἰς Δελφοὺς, χρήσασθαι τῷ μαντείῳ περί τινων βουληθέντες. Ὁ δὲ θεὸς, περὶ ὧν μὲν ἐπηρώτησαν οὐκ ἀνεῖλεν, ἐκέλευσε δ᾽ ἐπὶ τὴν πατρῴαν ἰέναι χώραν. Σκοπούμενοι δὲ τὴν μαντείαν, εὕρισκον, Ἄργος μὲν κατ᾽ ἀγχιστείαν αὐτῶν γιγνόμενον· Εὐρυσθέως γὰρ ἀποθανόντος, μόνοι Περσειδῶν ἦσαν καταλελειμμένοι· Λακεδαίμονα δὲ καταδουλωθεῖσαν· ἐκβληθεὶς γὰρ Τυνδάρεως ἐκ τῆς ἀρχῆς, ἐπειδὴ Κάστωρ καὶ Πολυδεύκης ἐξ ἀνθρώπων ἠφανίσθησαν, καταγαγόντος αὐτὸν Ἡρακλέους, δίδωσι τὴν χώραν, διά τε τὴν εὐεργεσίαν ταύτην, καὶ διὰ τὴν συγγένειαν τὴν πρὸς τοὺς παῖδας· Μεσσήνην δὲ δορυάλωτον ληφθεῖσαν· συληθεὶς γὰρ Ἡρακλῆς τὰς βοῦς, ἃς ἐκ τῆς Ἐρυθείας ἐξήλασεν, ὑπὸ Νηλέως καὶ τῶν παίδων, πλὴν Νέστορος, λαβὼν αὐτὴν αἰχμάλω-

τον, τοὺς μὲν ἀδικήσαντας ἀπέκτεινε, Νέστορι δὲ παρακατατίθεται τὴν πόλιν, νομίσας αὐτὸν εὖ φρονεῖν, ὅτι νεώτατος ὢν, οὐ συνεξήμαρτε τοῖς ἀδελφοῖς.

ζ. Ὑπολαβόντες δὲ οὕτως ἔχειν τὴν μαντείαν, καὶ τοὺς προγόνους τοὺς ὑμετέρους παραλαβόντες, καὶ τὸ στρατόπεδον συστησάμενοι, τὴν μὲν ἰδίαν χώραν εἰς τὸ κοινὸν τοῖς συνακολουθήσασιν ἔδοσαν, τὴν δὲ βασιλείαν ἐξαίρετον αὐτοὶ παρ᾽ ἐκείνων ἔλαβον· ἐπὶ δὲ τούτοις πίστιν ἀλλήλοις δόντες, ἐποιοῦντο τὴν στρατείαν. Τοὺς μὲν οὖν κινδύνους τοὺς ἐν τῇ πορείᾳ γενομένους, καὶ τὰς ἄλλας πράξεις τὰς οὐδὲν πρὸς τὸ παρὸν φερούσας, τί δεῖ λέγοντα διατρίβειν; πολέμῳ δὲ κρατήσαντες τοὺς ἐν τοῖς τόποις τοῖς εἰρημένοις κατοικοῦντας, τριχῇ διείλοντο τὰς βασιλείας. Ὑμεῖς μὲν οὖν μέχρι ταύτης τῆς ἡμέρας, ἐμμένετε ταῖς συνθήκαις καὶ τοῖς ὅρκοις, οὓς ἐποιήσασθε πρὸς τοὺς προγόνους τοὺς ἡμετέρους. Διὸ καὶ τὸν παρελθόντα χρόνον ἄμεινον τῶν ἄλλων ἐφέρεσθε, καὶ τὸν ἐπιόντα προσδοκᾶν χρὴ, τοιούτους ὄντας, βέλτιον ἢ νῦν πράξειν. Μεσσήνιοι δ᾽ εἰς τοῦτ᾽ ἀσεβείας ἦλθον, ὥστ᾽ ἐπιβουλεύσαντες ἀπέκτειναν Κρεσφόντην, τὸν οἰκιστὴν μὲν τῆς πόλεως, κύριον δὲ τῆς χώρας, ἔκγονον δ᾽ Ἡρακλέους, αὐτῶν δὲ γεγενημένον ἡγεμόνα. Διαφυγόντες δὲ οἱ παῖδες αὐτοῦ τοὺς κινδύνους, ἱκέται κατέστησαν ταύτης τῆς πόλεως, ἀξιοῦντες βοηθεῖν τῷ τεθνεῶτι, καὶ τὴν χώραν διδόντες ἡμῖν. Ἐπερόμενοι δὲ τὸν θεὸν, κἀκείνου προστάξαντος δέχεσθαι ταῦτα, καὶ τιμωρεῖν τοῖς ἠδικημένοις, ἐκπολιορκήσαντες Μεσσηνίους, οὕτως ἐκτήσασθε τὴν χώραν.

η. Περὶ μὲν οὖν τῶν ἐξ ἀρχῆς ἡμῖν ὑπαρξάντων, ἀκριβῶς μὲν οὐ διῆλθον (ὁ γὰρ παρὼν καιρὸς οὐκ ἐᾷ μυθολογεῖν, ἀλλ᾽ ἀναγκαῖον ἦν συντομώτερον ἢ σαφέστερον διαλεχθῆναι περὶ αὐτῶν)· οὐ μὴν ἀλλὰ καὶ διὰ τούτων οἶμαι πᾶσιν εἶναι φανερὸν, διότι τὴν ὁμολογουμένην ἡμετέραν εἶναι χώραν, οὐδὲν διαφερόντως κεκτημένοι τυγχάνομεν,

ἢ τὴν ἀμφισβητουμένην. Ταύτην μὲν γὰρ οἰκοῦμεν, δόντων μὲν Ἡρακλειδῶν, ἀνελόντος δὲ τοῦ θεοῦ, πολέμῳ δὲ κρατήσαντες τοὺς ἔχοντας· ἐκείνην δὲ ἐλάβομεν παρὰ τῶν αὐτῶν κατὰ τὸν αὐτὸν τρόπον, καὶ ταῖς μαντείαις χρησάμενοι ταῖς αὐταῖς. Εἰ μὲν οὖν οὕτως ἔχομεν, ὥστε μηδὲ περὶ ἑνὸς ἀντιλέγειν, μηδ᾽ ἂν αὐτὴν τὴν Σπάρτην ἐκλείπειν ἡμῖν προστάττωσι, περίεργόν ἐστι περὶ Μεσσήνης σπουδάζειν. Εἰ δὲ μηδεὶς ἂν ὑμῶν ἀξιώσειε ζῆν, ἀποστερούμενος τῆς πατρίδος, προσήκει καὶ περὶ ἐκείνης ὑμᾶς τὴν αὐτὴν γνώμην ἔχειν. Τὰ γὰρ αὐτὰ δικαιώματα καὶ τοὺς αὐτοὺς λόγους περὶ ἀμφοτέρων αὐτῶν εἰπεῖν ἔχομεν.

θ'. Ἀλλὰ μὴν οὐδ᾽ ἐκεῖνο ὑμᾶς λέληθεν, ὅτι τὰς κτήσεις καὶ τὰς ἰδίας καὶ τὰς κοινάς, ἣν ἐπιγένηται πολὺς χρόνος, κυρίας καὶ πατρῴας ἅπαντες εἶναι νομίζουσιν. Ἡμεῖς τοίνυν Μεσσήνην εἵλομεν, πρὶν ἢ Πέρσας λαβεῖν τὴν βασιλείαν, καὶ κρατῆσαι τῆς ἠπείρου, καὶ πρὶν οἰκισθῆναί τινας τῶν πόλεων τῶν Ἑλληνίδων. Καὶ τούτων ὑπαρχόντων ἡμῖν, τῷ μὲν βαρβάρῳ τὴν Ἀσίαν, ὥσπερ πατρῴαν οὖσαν ἀπεδίδοσαν, ὃς οὔπω διακόσια ἔτη κατέσχε τὴν ἀρχήν, ἡμᾶς δὲ Μεσσήνης ἀποστεροῦσιν, οἳ πλεῖον ἢ διπλάσιον χρόνον ἢ τοσοῦτον τυγχάνομεν ἔχοντες αὐτήν· καὶ Πλάταιαν μὲν καὶ Θεσπιάς, ἐχθὲς καὶ πρώην πεποιήκασιν ἀναστάτους, ταύτην δὲ διὰ τριακοσίων ἐτῶν κατοικίζουσιν, ἀμφότερα παρὰ τοὺς ὅρκους καὶ τὰς συνθήκας πράττοντες. Καὶ εἰ μὲν τοὺς ὡς ἀληθῶς Μεσσηνίους κατῆγον, ἠδίκουν μὲν ἄν, ὅμως δ᾽ εὐλογώτερον ἂν εἰς ἡμᾶς ἐξήμαρτον· νῦν δὲ τοὺς Εἵλωτας ὁμόρους ἡμῖν παρακατοικίζουσιν. Ὥστε μὴ τοῦτ᾽ εἶναι χαλεπώτατον, εἰ τῆς χώρας στερηθησόμεθα παρὰ τὸ δίκαιον, ἀλλ᾽ εἰ τοὺς δούλους τοὺς ἡμετέρους ἐποψόμεθα κυρίους αὐτῆς ὄντας.

ι'. Ἔτι τοίνυν ἐκ τῶν ἐχομένων γνώσεσθε σαφέστερον, ὅτι καὶ νῦν δεινὰ πάσχομεν, καὶ τότε δικαίως Μεσσήνην εἴχομεν. Πολλῶν γὰρ κινδύνων γεγενημένων ἡμῖν, ἤδη πο-

τὸ ποιεῖσθαι τὴν εἰρήνην ἠναγκάσθημεν, πολὺ χεῖρον πράττοντες τῶν πολεμίων. Ἀλλ᾽ ὅμως ἐν τοιούτοις καιροῖς γενομένων τῶν συνθηκῶν, ἐν οἷς οὐχ οἷόν τ᾽ ἦν πλεονεκτεῖν, περὶ μὲν ἄλλων τινῶν ἀμφισβήτησις ἐγίγνετο, περὶ δὲ τῆς Μεσσήνης, οὔθ᾽ ὁ βασιλεὺς, οὔθ᾽ ἡ τῶν Θηβαίων πόλις οὐδὲ πώποθ᾽ ἡμῖν ἐνεκάλεσαν, ὡς ἀδίκως κεκτημένοις αὐτήν. Καίτοι πῶς ἂν περὶ τοῦ δικαίου κρίσιν ἀκριβεστέραν ταύτης εὕροιμεν, τῆς ὑπὸ μὲν τῶν ἐχθρῶν ἐγνωσμένης, ἐν δὲ ταῖς ἡμετέραις δυσπραξίαις γεγενημένης;

ια΄. Τὸ τοίνυν μαντεῖον, ὃ πάντες ἂν ὁμολογήσαιεν ἀρχαιότατον εἶναι, καὶ κοινότατον, καὶ πιστότατον, οὐ μόνον ἔγνω τότε ἡμετέραν εἶναι Μεσσήνην, ὅτε διδόντων ἡμῖν τῶν Κρεσφόντου παίδων, προσέταξε δέχεσθαι τὴν πόλιν, καὶ βοηθεῖν τοῖς ἠδικημένοις, ἀλλὰ καὶ τοῦ πολέμου μακροῦ γιγνομένου, πεμψάντων ἡμῶν ἀμφοτέρων εἰς Δελφοὺς, ἐκείνων μὲν σωτηρίαν αἰτούντων, ἡμῶν δὲ ἐπερωτώντων ὅτῳ τρόπῳ τάχιστα ἂν κρατήσαιμεν τῆς πόλεως, τοῖς μὲν οὐδὲν ἀνεῖλεν, ὡς οὐ δικαίαν ποιουμένοις τὴν αἴτησιν, ἡμῖν δὲ ἐδήλωσε καὶ θυσίας οἵας ἔδει ποιήσασθαι, καὶ βοήθειαν παρ᾽ ὧν μεταπέμπεσθαι.

ιβ΄. Καίτοι πῶς ἂν μαρτυρίαν μείζω καὶ σαφεστέραν παράσχοιτό τις τούτων; Φαινόμεθα γὰρ πρῶτον μὲν παρὰ τῶν κυρίων λαβόντες τὴν χώραν (οὐδὲν γὰρ κωλύει διὰ βραχέων πάλιν περὶ αὐτῶν ἔτι διελθεῖν)· ἔπειτα κατὰ πόλεμον αὐτὴν ἔχοντες, ὅνπερ τρόπον αἱ πλεῖσται τῶν πόλεων περὶ ἐκείνους τοὺς χρόνους ᾠκίσθησαν· ἔτι δὲ τοὺς ἠσεβηκότας εἰς τοὺς παῖδας τοῦ Ἡρακλέους ἐκβεβληκότες, οἳ δικαίως ἂν ἐξ ἁπάσης τῆς οἰκουμένης ὑπερωρίσθησαν· πρὸς δὲ τούτοις, καὶ τῷ πλήθει τοῦ χρόνου, καὶ τῇ τῶν ἐχθρῶν κρίσει, καὶ ταῖς τοῦ θεοῦ μαντείαις, προσηκόντως ἔχοντες αὐτήν. Ὧν ἕκαστόν ἐστιν ἱκανὸν διαλῦσαι τοὺς λόγους τῶν κατηγορεῖν τολμώντων, ὡς ἢ νῦν διὰ πλεονεξίαν οὐ ποιούμεθα τὴν εἰρήνην, ἢ τότε τῶν ἀλλο-

τρίων ἐπιθυμοῦντες ἐπολεμήσαμεν πρὸς Μεσσηνίους. Περὶ μὲν οὖν τῆς κτήσεως ἔνεστι μὲν εἰπεῖν ἴσως πλείω τούτων· οὐ μὴν ἀλλὰ καὶ ταῦθ᾽ ἱκανῶς εἰρῆσθαι νομίζω.

ιγ΄. Λέγουσι δὲ οἱ συμβουλεύοντες ἡμῖν ποιεῖσθαι τὴν εἰρήνην, ὡς χρὴ τοὺς εὖ φρονοῦντας μὴ τὴν αὐτὴν γνώμην ἔχειν περὶ τῶν πραγμάτων, εὐτυχοῦντάς τε καὶ δυστυχοῦντας, ἀλλὰ πρὸς τὸ παρὸν εὖ βουλεύεσθαι, καὶ ταῖς τύχαις ἐπακολουθεῖν, καὶ μὴ μείζονα φρονεῖν τῆς δυνάμεως, μηδὲ τὸ δίκαιον ἐν τοῖς τοιούτοις καιροῖς, ἀλλὰ τὸ συμφέρον ζητεῖν.

ιδ΄. Ἐγὼ δὲ περὶ μὲν τῶν ἄλλων ὁμολογῶ τούτοις, ὅπως δὲ τοῦ δικαίου χρὴ ποιεῖσθαι προὐργιαίτερον τὸ συμφέρον, οὐδεὶς ἄν με λέγων πείσειεν. Ὁρῶ γὰρ καὶ τοὺς νόμους ἕνεκα τούτου κειμένους, καὶ τοὺς ἄνδρας τοὺς καλούς τε κἀγαθοὺς ἐπὶ τούτῳ φιλοτιμουμένους, καὶ τὰς πόλεις τὰς εὖ καὶ φιλοτίμως πολιτευομένας, περὶ τοῦτο μάλιστα σπουδαζούσας, καὶ τοὺς πολέμους τοὺς προγεγενημένους οὐ κατὰ τὰς δυνάμεις, ἀλλὰ κατὰ τὸ δίκαιον, τέλος ἅπαντας εἰληφότας· ὅλως δὲ τὸν βίον τὸν τῶν ἀνθρώπων διὰ μὲν κακίαν ἀπολλύμενον, διʼ ἀρετὴν δὲ σωζόμενον. Ὥστ᾽ οὐκ ἀθυμεῖν δεῖ τοὺς ὑπὲρ τῶν δικαίων κινδυνεύειν μέλλοντας, ἀλλὰ πολὺ μᾶλλον τοὺς ὑβρίζοντας, καὶ τοὺς τὰς εὐτυχίας μὴ μετρίως φέρειν ἐπισταμένους. Ἔπειτα κἀκεῖνο χρὴ σκοπεῖν· νυνὶ μὲν γὰρ περὶ τοῦ δικαίου πάντες τὴν αὐτὴν γνώμην ἔχομεν, περὶ δὲ τοῦ συμφέροντος ἀντιλέγομεν. Δυοῖν δὲ προκειμένοιν ἀγαθοῖν, καὶ τοῦ μὲν ὄντος προδήλου, τοῦ δὲ ἀγνοουμένου, πῶς οὐκ ἂν ποιήσαιτε καταγέλαστον, εἰ τὸ μὲν ὁμολογούμενον ἀποδοκιμάσαιτε, τὸ δὲ ἀμφισβητούμενον ἑλέσθαι δόξειεν ὑμῖν, ἄλλως τε καὶ τῆς αἱρέσεως τοσοῦτον διαφερούσης; Ἐν μὲν γὰρ τοῖς ἡμετέροις λόγοις ἔνεστι μηδὲν προέσθαι τῶν ὑμετέρων αὐτῶν, μηδ᾽ αἰσχύνῃ μηδεμιᾷ τὴν πόλιν περιβαλεῖν, ὑπὲρ δὲ τῶν δικαίων κινδυνεύοντας ἐλπίζειν ἄμεινον ἀγωνιεῖσθαι

τῶν ἐχθρῶν, ἐν δὲ τοῖς τούτων, ἀφεστάναι μὲν ἤδη Μεσσήνης, προεξαμαρτάνοντας δὲ τοῦτ᾽ εἰς ὑμᾶς αὐτοὺς, τυχὸν καὶ τοῦ συμφέροντος καὶ τοῦ δικαίου καὶ τῶν ἄλλων ἁπάντων ὧν προσδοκᾶτε, διαμαρτάνειν. Καὶ γὰρ οὐδὲ τοῦτο φανερόν ἐστιν, ὡς, ἐὰν ποιήσωμεν τὰ κελευόμενα, βεβαίως ἤδη τὴν εἰρήνην ἕξομεν. Οἶμαι γὰρ οὐκ ἀγνοεῖν ὑμᾶς, ὅτι πάντες εἰώθασι πρὸς μὲν τοὺς ἀμυνομένους, περὶ τῶν δικαίων διαλέγεσθαι, τοῖς δὲ λίαν ἑτοίμως ποιοῦσι τὸ προσταττόμενον, ἀεὶ πλέον προσεπιτάττειν, ὧν ἂν ἐξ ἀρχῆς ἐπινοήσωσιν. Ὥστε συμβαίνει βελτίονος εἰρήνης τυγχάνειν τοὺς πολεμικῶς διακειμένους, τῶν ῥᾳδίως τὰς ὁμολογίας ποιουμένων.

ιέ. Ἵνα δὲ μὴ δοκῶ περὶ ταῦτα πολὺν χρόνον διατρίβειν, πάντων τῶν τοιούτων ἀφέμενος, ἐπὶ τὸν ἁπλούστατον ἤδη τρέψομαι τῶν λόγων. Εἰ μὲν γὰρ μηδένες πώποτε τῶν δυστυχησάντων ἀνέλαβον ἑαυτοὺς, μηδ᾽ ἐπεκράτησαν τῶν ἐχθρῶν, οὐδ᾽ ἡμᾶς εἰκὸς ἐλπίζειν περιγενήσεσθαι πολεμοῦντας· εἰ δὲ πολλάκις γέγονεν, ὥστε καὶ τοὺς μείζω δύναμιν ἔχοντας ὑπὸ τῶν ἀσθενεστέρων κρατηθῆναι, καὶ τοὺς πολιορκοῦντας ὑπὸ τῶν κατακεκλεισμένων διαφθαρῆναι, τί θαυμαστὸν, εἰ καὶ τὰ νῦν καθεστῶτα λήψεταί τινα μετάστασιν;

ιϛ΄. Ἐπὶ μὲν οὖν τῆς ἡμετέρας πόλεως, οὐδὲν ἔχω τοιοῦτον εἰπεῖν· ἐν γὰρ τοῖς ἐπέκεινα χρόνοις, οὐδένες πώποτε κρείττονες ἡμῶν εἰς ταύτην τὴν χώραν εἰσέβαλον. Ἐπὶ δὲ τῶν ἄλλων, πολλοῖς ἄν τις παραδείγμασι χρήσαιτο, καὶ μάλιστα ἐπὶ τῆς πόλεως τῆς Ἀθηναίων. Τούτους γὰρ εὑρήσομεν, ἐξ ὧν τοῖς ἄλλοις προσέταττον, πρὸς τοὺς Ἕλληνας διαβληθέντας, ἐξ ὧν δὲ τοὺς ὑβρίζοντας ἠμύνοντο, παρὰ πᾶσιν ἀνθρώποις εὐδοκιμήσαντας. Τοὺς μὲν οὖν παλαιοὺς εἰ διεξέλθοιμι κινδύνους, οὓς ἐποιήσαντο πρὸς Ἀμαζόνας, ἢ Θρᾷκας, ἢ Πελοποννησίους τοὺς μετ᾽ Εὐρυσθέως εἰς τὴν χώραν αὐτῶν εἰσβαλόντας, ἴσως ἀρχαῖα καὶ

πορρωτέρω τῶν νῦν παρόντων λέγειν ἂν δοκοίην· ἐν δὲ τῷ Περσικῷ πολέμῳ, τίς οὐκ οἶδεν, ἐξ οἵων συμφορῶν εἰς ὅσην εὐδαιμονίαν κατέστησαν; Μόνοι γὰρ τῶν ἔξω Πελοποννήσου κατοικούντων, ὁρῶντες τὴν τῶν βαρβάρων δύναμιν ἀνυπόστατον οὖσαν, οὐκ ἠξίωσαν βουλεύσασθαι περὶ τῶν προσταττομένων αὐτοῖς, ἀλλ' εὐθὺς εἵλοντο περιιδεῖν τὴν πόλιν ἀνάστατον γιγνομένην μᾶλλον, ἢ δουλεύουσαν. Ἐκλιπόντες δὲ τὴν χώραν καὶ τὴν πόλιν, καὶ πατρίδα μὲν τὴν ἐλευθερίαν νομίσαντες, κοινωνήσαντες δὲ τῶν κινδύνων ἡμῖν, τοσαύτης μεταβολῆς ἔτυχον, ὥστε ὀλίγας ἡμέρας στερηθέντες τῶν ἑαυτῶν, πολὺν χρόνον δεσπόται τῶν ἄλλων κατέστησαν.

ιζ'. Οὐ μόνον δ' ἄν τις ἐπὶ ταύτης τῆς πόλεως ἐπιδείξειε τὸ τολμᾶν ἀμύνεσθαι τοὺς ἐχθροὺς, ὡς πολλῶν ἀγαθῶν αἴτιόν ἐστιν, ἀλλὰ καὶ Διονύσιος ὁ τύραννος, καταστὰς εἰς πολιορκίαν ὑπὸ Καρχηδονίων, οὐδεμιᾶς αὐτῷ σωτηρίας ὑπολειπομένης, ἀλλὰ καὶ τῷ πολέμῳ κατεχόμενος, καὶ τῶν πολιτῶν πρὸς αὐτὸν δυσχερῶς διακειμένων, αὐτὸς μὲν ἐμέλλησεν ἐκπλεῖν· τῶν δὲ χρωμένων τινὸς τολμήσαντος εἰπεῖν, ὡς καλόν ἐστιν ἐντάφιον ἡ τυραννὶς, αἰσχυνθεὶς ἐφ' οἷς διενοήθη, καὶ πάλιν ἐπιχειρήσας πολεμεῖν, πολλὰς μὲν μυριάδας Καρχηδονίων διέφθειρεν, ἐγκρατεστέραν δὲ τὴν ἀρχὴν τῶν πολιτῶν κατεστήσατο, πολὺ δὲ μείζω τὴν δύναμιν τὴν ἑαυτοῦ τῆς πρότερον ὑπαρχούσης ἐκτήσατο, τυραννῶν δὲ τὸν βίον διετέλεσε, καὶ τὸν υἱὸν ἐν ταῖς αὐταῖς τιμαῖς καὶ δυναστείαις, ἐν αἷσπερ αὐτὸς ἦν, κατέλιπε.

ιη'. Παραπλήσια δὲ τούτοις Ἀμύντας ὁ τῶν Μακεδόνων βασιλεὺς ἔπραξεν. Ἡττηθεὶς γὰρ ὑπὸ τῶν βαρβάρων τῶν προσοικούντων μάχῃ, καὶ πάσης Μακεδονίας ἀποστερηθεὶς, τὸ μὲν πρῶτον ἐκλιπεῖν τὴν χώραν διενοήθη, καὶ τὸ σῶμα διασώζειν, ἀκούσας δέ τινος ἐπαινοῦντος τὸ πρὸς Διονύσιον ῥηθὲν, καὶ μεταγνοὺς ὥσπερ ἐκεῖνος, χωρίον μικρὸν κατα-

λαβὼν, καὶ βοήθειαν ἐνθένδε μεταπεμψάμενος, ἐντὸς μὲν τριῶν μηνῶν ἅπασαν κατέσχε Μακεδονίαν, τὸν δὲ ἐπίλοιπον χρόνον βασιλεύων, γήρᾳ τὸν βίον ἐτελεύτησεν.

ιθʹ. Ἀπείποιμεν δ᾽ ἂν ἀκούοντές τε καὶ λέγοντες, εἰ πάσας τὰς τοιαύτας πράξεις ἐξετάζοιμεν. Ἐπεὶ καὶ τῶν περὶ Θήβας πραχθέντων εἰ μνησθείημεν, ἐπὶ μὲν τοῖς γεγενημένοις ἂν λυπηθείημεν, περὶ δὲ τῶν μελλόντων βελτίους ἂν ἐλπίδας λάβοιμεν. Τολμησάντων γὰρ αὐτῶν ὑπομεῖναι τὰς εἰσβολὰς καὶ τὰς ἀπειλὰς τὰς ἡμετέρας, εἰς τοῦθ᾽ ἡ τύχη τὰ πράγματα περιέστησεν αὐτῶν, ὥστε τὸν ἄλλον χρόνον ὑφ᾽ ἡμᾶς ὄντες, νῦν ἡμῖν προστάττειν ἀξιοῦσιν.

κʹ. Ὅστις οὖν ὁρῶν τοιαύτας μεταβολὰς γεγενημένας, ἐφ᾽ ἡμῶν οἴεται παύσεσθαι λίαν ἀνόητός ἐστιν· ἀλλὰ δεῖ καρτερεῖν ἐπὶ τοῖς παροῦσι, καὶ θαῤῥεῖν περὶ τῶν μελλόντων, ἐπισταμένους ὅτι τὰς τοιαύτας συμφορὰς αἱ πόλεις ἐπανορθοῦνται πολιτείᾳ χρηστῇ, καὶ ταῖς περὶ τὸν πόλεμον ἐμπειρίαις. Περὶ ὧν οὐδεὶς ἂν τολμήσειεν ἀντειπεῖν, ὡς οὐ τὴν μὲν ἐμπειρίαν μᾶλλον τῶν ἄλλων ἔχομεν, πολιτείαν δὲ, οἵαν χρὴ, παρὰ μόνοις ἡμῖν ἐστιν. Ὧν ὑπαρχόντων, οὐκ ἔσθ᾽ ὅπως οὐκ ἄμεινον πράξομεν τῶν μηδ᾽ ἑτέρου τούτων πολλὴν ἐπιμέλειαν πεποιημένων.

καʹ. Κατηγοροῦσι δέ τινες τοῦ πολέμου, καὶ διεξέρχονται τὴν ἀπιστίαν αὐτοῦ, τεκμηρίοις ἄλλοις τε πολλοῖς χρώμενοι, καὶ μάλιστα τοῖς περὶ ἡμᾶς γεγενημένοις, καὶ θαυμάζουσιν, εἴ τινες οὕτω χαλεπῷ καὶ παραβόλῳ πράγματι πιστεύειν ἀξιοῦσιν.

κβʹ. Ἐγὼ δὲ πολλοὺς μὲν οἶδα διὰ τὸν πόλεμον μεγάλην εὐδαιμονίαν κτησαμένους, πολλοὺς δὲ τῆς ὑπαρχούσης στερηθέντας διὰ τὴν εἰρήνην· οὐδὲν γὰρ τῶν τοιούτων ἐστὶν ἀποτόμως οὔτε κακὸν οὔτ᾽ ἀγαθὸν, ἀλλ᾽ ὅπως ἂν χρήσηταί τις καὶ τοῖς πράγμασι καὶ τοῖς καιροῖς, οὕτως ἀνάγκη καὶ τὸ τέλος ἐκβαίνειν ἐξ αὐτῶν. Χρὴ δὲ τοὺς μὲν εὖ

πράττοντας εἰρήνης ἐπιθυμεῖν· ἐν γὰρ τῇ καταστάσει ταύτῃ πλεῖστον ἄν τις χρόνον τὰ παρόντα διαφυλάξειε· τοὺς δὲ δυστυχοῦντας τῷ πολέμῳ προσέχειν τὸν νοῦν· ἐκ γὰρ τῆς ταραχῆς καὶ τῆς πανουργίας θᾶττον ἂν μεταβολῆς τύχοιεν. Ὧν ἡμεῖς δέδοικα μὴ τἀναντία πράττοντες φανῶμεν. Ὅτε μὲν γὰρ ἐξῆν ἡμῖν τρυφᾶν, πλείους τοὺς πολέμους ἐποιούμεθα τοῦ δέοντος, ἐπειδὴ δ' εἰς ἀνάγκην καθέσταμεν, ὥστε κινδυνεύειν, ἡσυχίας ἐπιθυμοῦμεν, καὶ περὶ ἀσφαλείας βουλευόμεθα. Καίτοι χρὴ τοὺς βουλομένους ἐλευθέρους εἶναι, τὰς μὲν ἐκ τῶν ἐπιταγμάτων συνθήκας φεύγειν, ὡς ἐγγὺς δουλείας οὔσας, ποιεῖσθαι δὲ τὰς διαλλαγὰς, ὅταν ἢ περιγένωνται τῶν ἐχθρῶν, ἢ τὴν αὑτῶν δύναμιν ἐξισώσωσι τῇ τῶν πολεμίων· ὡς τοιαύτην ἕκαστοι τὴν εἰρήνην ἕξουσιν, οἵανπερ ἂν τοῦ πολέμου ποιήσωνται τὴν διάλυσιν.

κγ'. Ὧν ἐνθυμουμένους, χρὴ μὴ προπετῶς ἡμᾶς αὐτοὺς ἐμβάλλειν εἰς αἰσχρὰν ὁμολογίαν, μηδὲ ῥαθυμότερον ὑπὲρ τῆς πατρίδος, ἢ περὶ τῶν ἄλλων φανῆναι βουλευομένους. Ἀναμνήσθητε δὲ πρὸς ὑμᾶς αὐτοὺς, ὅτι τὸν παρελθόντα χρόνον, εἰ πολιορκουμένῃ τινὶ τῶν πόλεων τῶν συμμαχίδων εἷς μόνος Λακεδαιμόνιος βοηθήσειεν, ὑπὸ πάντων ὡμολογεῖτο παρὰ τοῦτον γεγενῆσθαι τὴν σωτηρίαν αὐτοῖς. Καὶ τοὺς μὲν πλείστους τῶν τοιούτων ἀνδρῶν, παρὰ τῶν πρεσβυτέρων ἄν τις ἀκούσειε, τοὺς δ' ὀνομαστοτάτους, ἔχω κἀγὼ διελθεῖν. Πεδάριτος μὲν γὰρ εἰς Χίον πλεύσας, τὴν πόλιν αὐτῶν διέσωσε. Βρασίδας δὲ εἰς Ἀμφίπολιν εἰσελθὼν, ὀλίγους περὶ αὐτὸν τῶν πολιορκουμένων συνταξάμενος, πολλοὺς ὄντας τοὺς πολιορκοῦντας ἐνίκησε μαχόμενος. Γύλιππος δὲ Συρακουσίοις βοηθήσας, οὐ μόνον ἐκείνους διέσωσεν, ἀλλὰ καὶ τὴν δύναμιν, τὴν κρατοῦσαν αὐτῶν καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν, ἅπασαν αἰχμάλωτον ἔλαβε. Καίτοι πῶς οὐκ αἰσχρὸν, τότε μὲν ἕκαστον ἡμῶν ἱκανὸν εἶναι τὰς ἀλλοτρίας πόλεις διαφυλάττειν, νυνὶ δὲ πάντας μηδὲ πειρᾶ-

σθαι τὴν ὑμετέραν αὐτῶν διασώζειν; καὶ τὴν μὲν Ἀσίαν καὶ τὴν Εὐρώπην μεστὴν πεποιηκέναι τροπαίων, ὑπὲρ τῶν ἄλλων πολεμοῦντας, ὑπὲρ δὲ τῆς πατρίδος, οὕτω φανερῶς ὑβριζομένης, μηδεμίαν μάχην ἀξίαν λόγου φαίνεσθαι μεμαχημένους; ἀλλ' ἑτέρας μὲν πόλεις, ὑπὲρ τῆς ἡμετέρας ἀρχῆς, τὰς ἐσχάτας ὑπομεῖναι πολιορκίας, αὐτοὺς δὲ ἡμᾶς, ὑπὲρ τοῦ μηδὲν παρὰ τὸ δίκαιον ἀναγκασθῆναι ποιεῖν, μηδὲ μικρὰν οἴεσθαι δεῖν ὑπομεῖναι κακοπάθειαν; ἀλλὰ ζεύγη μὲν ἵππων ἀδηφαγούντων ἔτι καὶ νῦν ὁρᾶσθαι τρέφοντας, ὥσπερ δὲ τοὺς εἰς τὰς δεινοτάτας ἀνάγκας ἀφιγμένους, καὶ τῶν καθ' ἡμέραν ἐνδεεῖς ὄντας, οὕτω ποιεῖσθαι τὴν εἰρήνην;

κδ'. Ὃ δὲ πάντων σχετλιώτατον, εἰ φιλοπονώτατοι δοκοῦντες εἶναι τῶν Ἑλλήνων, ῥαθυμότερον βουλευσόμεθα περὶ τούτων. Τίνα δὲ τῶν περισταμένων ἡμῖν ἐξ ἀνδρῶν τοιούτων ἀπειλῶν καὶ ποιεῖσθαι μνείαν ἄξιόν ἐστιν, οἵτινες ἅπαξ ἡττηθέντες, καὶ μιᾶς εἰσβολῆς γενομένης, οὕτως ἀνάνδρως ὡμολόγησαν ἅπαντα τὰ προσταττόμενα ποιήσειν; πῶς ἂν οἱ τοιοῦτοι δυστυχοῦντες πολὺν χρόνον ἐπαρκέσειαν; τίς δ' οὐκ ἂν ἐπιτιμήσειεν ἡμῖν, εἰ, Μεσσηνίων ὑπὲρ τῆς χώρας ταύτης εἴκοσιν ἔτη πολιορκηθέντων, ἡμεῖς οὕτω ταχέως κατὰ συνθήκας αὐτῆς ἀποσταίημεν, καὶ μηδὲ τῶν προγόνων μνησθείημεν, ἀλλ' ἣν ἐκεῖνοι μετὰ πολλῶν πόνων καὶ κινδύνων ἐκτήσαντο, ταύτην ἡμεῖς ὑπὸ λόγων πεισθέντες ἀποβάλοιμεν;

κε'. Ὧν οὐδὲν ἔνιοι φροντίσαντες, ἀλλὰ πάσας τὰς αἰσχύνας ὑπεριδόντες, συμβουλεύουσι ταῦτα, ἐξ ὧν εἰς ὀνείδη τὴν πόλιν καταστήσουσιν. Οὕτω δὲ προθύμως παρακαλοῦσιν ἡμᾶς πρὸς τὸ παραδοῦναι τὴν Μεσσήνην, ὥστε καὶ διεξελθεῖν ἐτόλμησαν τήν τε τῆς πόλεως ἀσθένειαν, καὶ τὴν τῶν πολεμίων δύναμιν, καὶ κελεύουσιν ἀποκρίνασθαι τοὺς ἐναντιουμένους αὐτοῖς, πόθεν βοήθειαν προσδοκῶντες ἕξειν, διακελευόμεθα πολεμεῖν ὑμῖν.

κϛʹ. Ἐγὼ δὲ μεγίστην ἡγοῦμαι συμμαχίαν εἶναι καὶ βεβαιοτάτην τὸ τὰ δίκαια πράττειν· εἰκὸς γὰρ καὶ τὴν τῶν θεῶν εὔνοιαν ἔσεσθαι μετὰ τούτων, εἴπερ χρὴ περὶ τῶν μελλόντων τεκμαίρεσθαι τοῖς ἤδη γεγενημένοις. Πρὸς δὲ ταύτῃ, τὸ καλῶς πολιτεύεσθαι, καὶ σωφρόνως, καὶ μέχρι θανάτου μάχεσθαι τοῖς πολεμίοις ἐθέλειν, καὶ μηδὲν οὕτω δεινὸν νομίζειν, ὡς τὸ κακῶς ἀκούειν ὑπὸ τῶν πολιτῶν· ὃ μᾶλλον ἡμῖν ἢ τοῖς ἄλλοις ἀνθρώποις ὑπάρχει. Μεθ' ὧν ἂν ἐγὼ πολὺ ἥδιον πολεμοίην, ἢ μετὰ πολλῶν μυριάδων· οἶδα γὰρ καὶ τοὺς προγόνους ἡμῶν εἰς ταύτην τὴν χώραν ἀφικνουμένους, οὐ τῷ πλήθει τῶν ἄλλων περιγενομένους, ἀλλὰ ταῖς ἀρεταῖς ταῖς ὑπ' ἐμοῦ προειρημέναις. Ὥστε οὐκ ἄξιον διὰ τοῦτο φοβεῖσθαι τοὺς πολεμίους, ὅτι πολλοὶ τυγχάνουσιν ὄντες, ἀλλὰ πολὺ μᾶλλον ἐπ' ἐκείνοις θαῤῥεῖν, ὅταν ὁρῶμεν ἡμᾶς μὲν αὐτοὺς οὕτως ἐνηνοχότας τὰς συμφορὰς, ὡς οὐδένες ἄλλοι πώποτε, καὶ τοῖς νομιζομένοις, καὶ τοῖς ἐπιτηδεύμασιν ἐμμένοντας, οἷς ἐξ ἀρχῆς κατεστησάμεθα, τοὺς δὲ τὰς εὐτυχίας φέρειν μὴ δυναμένους, ἀλλὰ διατεταραγμένους· καὶ τοὺς μὲν ἔχοντας συμμαχίας, πόλεις καταλαμβάνοντας, τοὺς δὲ τἀναντία τούτοις πράττοντας· ἄλλους δὲ περὶ χώρας τοῖς ὁμόροις ἀμφισβητοῦντας· τοὺς δὲ μᾶλλον ἀλλήλοις φθονοῦντας, ἢ πρὸς ἡμᾶς πολεμοῦντας. Ὥστε θαυμάζειν τῶν μείζω συμμαχίαν ζητούντων, ὧν οἱ πολέμιοι τυγχάνουσιν ἐξαμαρτάνοντες. Ταῦθ' ἡμῖν βοηθήσει.

κζʹ. Εἰ δὲ δεῖ καὶ περὶ τῶν ἔξωθεν βοηθειῶν εἰπεῖν, πολλοὺς ἔσεσθαι τοὺς βουλομένους ἡμῖν ἐπαμύνειν [ἐλπίς]. Ἐπίσταμαι γὰρ πρῶτον μὲν Ἀθηναίους, εἰ καὶ μὴ πάντα μεθ' ἡμῶν εἰσὶν, ἀλλ' οὖν ὑπέρ γε τῆς ἑαυτῶν σωτηρίας πάντα ποιήσοντας· ἔπειτα τῶν ἄλλων πόλεων τινὰς ὁμοίως ἂν ὑπὲρ τῶν νῦν ἡμῖν συμφερόντων, ὡς περὶ τῶν ἑαυταῖς βουλευσομένας· ἔτι δὲ Διονύσιον τὸν τύραννον, καὶ τὸν Αἰγυπτίων βασιλέα, καὶ τοὺς ἄλλους τοὺς κατὰ τὴν

Ἀσίαν δυνάστας, καθ' ὅσον ἂν ἕκαστοι δύνωνται, προθύμως ἂν ἡμῖν ἐπικουρήσοντας· πρὸς δὲ τούτοις, καὶ τῶν Ἑλλήνων τοὺς ταῖς οὐσίαις προέχοντας, καὶ ταῖς δόξαις πρωτεύοντας, καὶ τῶν βελτίστων πραγμάτων ἐπιθυμοῦντας, εἰ καὶ μήπω συνεστήκασιν, ἀλλὰ ταῖς γε εὐνοίαις μεθ' ἡμῶν ὄντας, ἐν οἷς περὶ τῶν μελλόντων εἰκότως ἂν μεγάλας τὰς ἐλπίδας ἔχοιμεν.

κη'. Οἶμαι δὲ καὶ τὸν ὄχλον τὸν ἐν Πελοποννήσῳ, καὶ τὸν δῆμον ὃν οἰόμεθα, κἂν οὐ πρότερον, ἀλλὰ νῦν γε πολλὴν ποιήσεσθαι τὴν ἐπιμέλειαν. Οὐδὲν γὰρ αὐτοῖς ἀποξάσι γέγονεν, ὧν προσεδόκησαν· ἀλλ' ἀντὶ μὲν τῆς ἐλευθερίας, τοὐναντίον αὐτοῖς ἀποβέβηκεν· ἀπολέσαντες γὰρ αὐτῶν τοὺς βελτίστους, ἐπὶ τοῖς χειρίστοις τῶν πολιτῶν γεγόνασιν· ἀντὶ δὲ τῆς αὐτονομίας, εἰς πολλὰς καὶ δεινὰς ἀνομίας ἐμπεπτώκασιν. Εἰθισμένοι δὲ τὸν ἄλλον χρόνον μεθ' ἡμῶν ἐφ' ἑτέρους ἰέναι, νῦν τοὺς ἄλλους ἐπ' αὐτοὺς ὁρῶσι στρατευομένους· καὶ τὰς στάσεις, ἃς ἐπυνθάνοντο πρότερον παρ' ἑτέροις οὔσας, νῦν παρ' αὐτοῖς ὀλίγου δεῖν καθ' ἑκάστην ἡμέραν γιγνομένας ὁρῶσιν. Οὕτω δὲ δεδαμασμένοι ταῖς συμφοραῖς εἰσὶν, ὥστε μηδὲ διαγνῶναι δύνασθαι τοὺς κάκιστα πράττοντας αὐτῶν. Οὐδεμία γὰρ ἐστι τῶν πόλεων ἀκέραιος, ἥτις οὐχ ὁμόρους ἔχει τοὺς κακῶς ποιήσοντας· ὡς τετμῆσθαι μὲν τὰς χώρας, πεπορθῆσθαι δὲ τὰς πόλεις, ἀναστάτους δὲ γεγενῆσθαι τοὺς οἴκους τοὺς ἰδίους, ἀνεστράφθαι δὲ τὰς πολιτείας, καὶ καταλελύσθαι τοὺς νόμους, μεθ' ὧν οἰκοῦντες εὐδαιμονέστατοι τῶν Ἑλλήνων ἐτύγχανον. Οὕτω δ' ἀπίστως πρὸς σφᾶς αὐτοὺς καὶ δυσμενῶς ἔχουσιν, ὥστε μᾶλλον τοὺς πολίτας ἢ τοὺς πολεμίους δεδίασιν· ἀντὶ δὲ τῆς ἐφ' ἡμῶν εὐπορίας, καὶ τῆς παρ' ἡμῶν εὐνοίας, εἰς τοσαύτην ἀμιξίαν ἐληλύθασιν, ὥσθ' οἱ μὲν κεκτημένοι τὰς οὐσίας, ἥδιον ἂν εἰς τὴν θάλατταν τὰ σφέτερ' αὐτῶν βάλοιεν, ἢ τοῖς δεομένοις ἐπαρκέσειαν· οἱ δὲ καταδεέστερον πράττοντες, οὐδ' ἂν εὑρεῖν δέξαιντο

μᾶλλον ἢ τὰ τῶν ἐχόντων ἀφελέσθαι· καταλύσαντες δὲ τὰς θυσίας, ἐπὶ τῶν βωμῶν σφάττουσιν ἀλλήλους· πλεῖς δὲ φεύγουσι νῦν ἐκ μιᾶς πόλεως, ἢ πρότερον ἐξ ἁπάσης τῆς Πελοποννήσου. Καὶ τοσούτων ἀπηριθμημένων κακῶν, πολὺ πλείω τὰ παραλελειμμένα τῶν εἰρημένων ἐστίν· οὐδὲν γὰρ ὅ,τι τῶν δεινῶν ἢ χαλεπῶν, οὐκ ἐνταῦθα συνδεδράμηκεν· ὧν οἱ μὲν ἤδη μεστοὶ τυγχάνουσιν ὄντες, οἱ δὲ ταχέως ἐμπλησθήσονται, καὶ ζητήσουσί τινα τῶν παρόντων πραγμάτων εὑρεῖν ἀπαλλαγήν. Μὴ γὰρ οἴεσθε αὐτοὺς μένειν ἐπὶ τούτοις· οἵτινες γὰρ εὖ πράττοντες ἀπεῖπον, πῶς ἂν οὗτοι κακοπαθοῦντες πολὺν χρόνον καρτερήσειαν; ὥστ', οὐ μόνον ἂν μαχόμενοι νικῶμεν, ἀλλὰ κἂν ἡσυχίαν ἔχοντες περιμένωμεν, ὄψεσθε μεταβαλλομένους αὐτούς, καὶ τὴν ἡμετέραν συμμαχίαν σωτηρίαν αὑτοῖς εἶναι νομίζοντας. Τὰς μὲν οὖν ἐλπίδας ἔχω τοιαύτας.

κθʹ. Τοσοῦτον δὲ ἀπέχω τοῦ ποιεῖν τι τῶν προσταττομένων, ὥστ', εἰ μηδὲν γίγνοιτο τούτων, μηδὲ βοηθείας μηδαμόθεν τυγχάνοιμεν, ἀλλὰ τῶν Ἑλλήνων οἱ μὲν ἀδικοῖεν ἡμᾶς, οἱ δὲ ὑπερορῷεν, οὐδ' ἂν οὕτω μεταγνοίην, ἀλλὰ πάντας ἂν τοὺς ἐκ τοῦ πολέμου κινδύνους ὑπομείναιμι, πρὶν ποιήσασθαι τὰς ὁμολογίας ταύτας. Αἰσχυνθείην γὰρ ἂν ὑπὲρ ἀμφοτέρων, εἴτε καταγνοίημεν τῶν προγόνων, ὡς ἀδίκως Μεσσηνίων ἀφείλοντο τὴν χώραν, εἴτε ἐκείνων ὀρθῶς κτησαμένων, ἡμεῖς παρὰ τὸ δίκαιον συγχωρήσαιμέν τι περὶ αὐτῆς. Τούτων μὲν οὖν οὐθέτερον ποιητέον, σκεπτέον δ' ὅπως ἀξίως ἡμῶν αὐτῶν πολεμήσομεν, καὶ μὴ τοὺς εἰθισμένους ἐγκωμιάζειν ἡμῶν τὴν πόλιν, ἐξελέγξομεν ψευδεῖς ὄντας· ἀλλὰ τοιούτους ἡμᾶς αὐτοὺς παρασχήσομεν, ὡς ἐκείνους ἐλάττω τῶν ὑπαρχόντων δοκεῖν εἰρηκέναι περὶ ἡμῶν.

λʹ. Οἶμαι μὲν οὖν μηδὲν δεινότερον συμβήσεσθαι τῶν νῦν παρόντων· ἀλλ' τοὺς ἐχθροὺς τοιαῦτα βουλεύσεσθαι καὶ πράξειν, ἐξ ὧν ἐπανορθώσουσιν ἡμᾶς. Ἂν δ' ἄρα ψευσθῶ-

μεν τῶν ἐλπίδων, καὶ πανταχόθεν ἐξειργώμεθα, καὶ μη-
δὲ τὴν πόλιν ἔτι δυνώμεθα φυλάττειν, χαλεπὰ μέν ἐστιν
ἃ μέλλω λέγειν, ὅμως δ' οὐκ ὀκνήσω παῤῥησιάσασθαι πε-
ρὶ αὐτῶν. Καὶ γὰρ ἐξαγγελθῆναι τοῖς Ἕλλησι καλλίω
ταῦτ' ἐστὶ, καὶ μᾶλλον ἁρμόττοντα τοῖς ἡμετέροις φρονή-
μασιν ὧν ἔνιοί τινες ἡμῖν συμβουλεύουσι.

λα'. Φημὶ γὰρ χρῆναι τοὺς μὲν γονέας τοὺς ἡμετέρους
αὐτῶν, καὶ τοὺς παῖδας, καὶ τὰς γυναῖκας, καὶ τὸν ὄ-
χλον τὸν ἄλλον, ἐκ τῆς πόλεως ἐκπέμψαι, τοὺς μὲν ἐς Σι-
κελίαν * καὶ Ἰταλίαν,* τοὺς δὲ εἰς Κυρήνην, τοὺς δ' εἰς
τὴν ἤπειρον. Ἀσμένως δ' αὐτοὺς ἅπαντες οὗτοι δέξονται.
καὶ χώρᾳ πολλῇ, καὶ ταῖς ἄλλαις περὶ τὸν βίον εὐπορί-
αις· οἱ μὲν χάριν ἀποδιδόντες ὧν εὖ πεπόνθασιν ὑφ' ἡμῶν·
οἱ δὲ κομίσεσθαι προσδοκῶντες, ὧν ἂν προϋπάρχωσιν. Ὑ-
πολειφθέντας δὲ τοὺς βουλομένους καὶ δυναμένους κινδυνεύ-
ειν, τῆς μὲν πόλεως ἀφίστασθαι, καὶ τῶν ἄλλων κτημά-
των, πλὴν ὅσα ἂν δυνώμεθα ἀπενέγκασθαι μεθ' ἡμῶν
αὐτῶν· καταλαβόντας δὲ χωρίον, ὅ,τι ἂν ὀχυρώτατον ᾖ,
καὶ πρὸς τὸν πόλεμον συμφορώτατον, ἄγειν καὶ φέρειν τοὺς
πολεμίους καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν, ἕως ἂν
παύσωνται τῶν ἡμετέρων ἀμφισβητοῦντες. Καὶ ταῦτα ἐ-
ὰν τολμήσωμεν, καὶ μὴ κατοκνήσωμεν, ὄψεσθε τοὺς νῦν
ἐπιτάττοντας, ἱκετεύοντας, καὶ δεομένους ἡμῶν Μεσσήνην
ἀπολαβεῖν, καὶ ποιήσασθαι τὴν εἰρήνην.

λβ'. Ποία γὰρ ἂν τῶν πόλεων τῶν ἐν Πελοποννήσῳ
τοιοῦτον πόλεμον ὑπομείνειεν, οἷον εἰκὸς ᾖ γενέσθαι βουλη-
θέντων ἡμῶν; Τίνες δ' οὐκ ἂν ἐκπλαγεῖεν, καὶ δείσαιεν
στρατόπεδον συνιστάμενον, τοιαῦτα μὲν συμπεπραγμένον,
δικαίως δὲ τοῖς αἰτίοις τούτων ὠργισμένον, ἀπονενοημένως
δὲ πρὸς τὸ ζῆν διακείμενον; καὶ τῷ μὲν σχολὴν πρῶτον ἄ-
γειν, καὶ μηδὲ περὶ ἓν ἄλλο διατρίβειν, ἢ περὶ τὸν πόλε-
μον, τοῖς ξενικοῖς στρατεύμασιν ὡμοιωμένον, ταῖς δὲ ἀρε-
ταῖς καὶ τοῖς ἐπιτηδεύμασι τοιοῦτον, οἷον ἐξ ἁπάντων ἀν-

θρώπων οὐδεὶς ἂν συντάξειεν; ἔτι δὲ ἐν μηδεμιᾷ πόλει τεταγμένον, ἀλλὰ θυραυλεῖν, καὶ πλανᾶσθαι κατὰ τὴν χώραν δυνάμενον, καὶ ῥᾳδίως μὲν ὅμορον οἷς ἂν βούληται γιγνόμενον, τοὺς δὲ τόπους ἅπαντας τοὺς πρὸς τὸν πόλεμον συμφέροντας, πατρίδας εἶναι νομίζον; Ἐγὼ μὲν γὰρ οἶμαι τῶν λόγων μόνον ῥηθέντων εἰς τοὺς Ἕλληνας, εἰς πολλὴν ταραχὴν καταστήσεσθαι τοὺς ἐχθρούς· ἔτι δὲ μᾶλλον, ἢν καὶ τέλος ἐπιθεῖναι τούτοις ἀναγκασθῶμεν. Τίνα γὰρ οἰηθῶμεν αὐτοὺς γνώμην ἕξειν, ὅταν αὐτοὶ μὲν κακῶς πάσχωσιν, ἡμᾶς δὲ ποιεῖν μὴ δύνωνται; καὶ τὰς μὲν πόλεις αὑτῶν ἴδωσιν εἰς πολιορκίαν καθεστηκυίας, τὴν δ' ἡμετέραν οὕτω παρεσκευασμένην, ὥστε μηκέτι τῇ συμφορᾷ ταύτῃ περιπεσεῖν; ἔτι δὲ τὴν τῶν σωμάτων τροφὴν ἡμῖν μὲν ῥᾳδίαν ἔκ τε τῆς τῶν ὑπαρχόντων χρήσεως, καὶ τῶν ἐκ τοῦ πολέμου γιγνομένων, αὐτοῖς δὲ χαλεπὴν *εἶναι,* διὰ τὸ μὴ ταὐτὸν εἶναι, στρατόπεδον τοιοῦτο διοικεῖν, καὶ τὸν ὄχλον τὸν ἐν ταῖς πόλεσι διατρέφειν; Ὃ δὲ πάντων ἐκείνοις ἀλγεινότατον, ὅταν τοὺς μὲν ἡμετέρους οἰκείους ἐν πολλαῖς εὐπορίαις πυνθάνωνται γεγενημένους, τοὺς δ' αὑτῶν ὁρῶσι καθ' ἑκάστην ἡμέραν ἐνδεεῖς ὄντας τῶν ἀναγκαίων, καὶ μηδ' ἐπικουρῆσαι δύνωνται τοῖς κακοῖς· ἀλλ' ἐργαζόμενοι μὲν τὴν χώραν, τὰ σπέρματα προσαπολλύωσιν· ἀργὸν δὲ περιορῶντες, μηδένα χρόνον αὐταρκεῖν οἷοί τ' ὦσιν.

λγ'. Ἀλλὰ γὰρ ἴσως ἀθροισθέντες, καὶ κοινὸν ποιησάμενοι στρατόπεδον, παρακολουθήσουσιν ἡμῖν, καὶ κωλύσουσιν ἡμᾶς κακῶς ποιεῖν αὐτούς. Καὶ τί ἂν εὐξαίμεθα μᾶλλον, ἢ λαβεῖν πλησιάζοντας καὶ παραταττομένους, καὶ περὶ τὰς αὐτὰς δυσχωρίας ἡμῖν ἀντιστρατοπεδεύοντας, ἀνθρώπους ἀτάκτους καὶ μιγάδας, καὶ πολλοῖς ἄρχουσι χρωμένους; οὐδὲ γὰρ ἂν πολλῆς πραγματείας δεηθείημεν, ἀλλὰ ταχέως ἂν αὐτοὺς ἀναγκάσαιμεν ἐν τοῖς ἡμετέροις, ἀλλὰ μὴ ἐν τοῖς ἑαυτῶν ποιήσασθαι τοὺς κινδύνους.

λδ'. Ἐπιλίποι δ' ἂν τὸ λοιπὸν μέρος τῆς ἡμέρας, εἰ

τὰς πλεονεξίας τὰς ἡμετέρας λέγειν ἐπιχειρήσαιμεν. Ἐκεῖνο δ᾽ οὖν φανερὸν, ὅτι τῶν Ἑλλήνων διενηνόχαμεν οὐ τῷ μεγέθει τῆς πόλεως, οὐδὲ τῷ πλήθει τῶν ἀνδρῶν, ἀλλ᾽ ὅτι τὴν πολιτείαν ὁμοίαν κατεστησάμεθα στρατοπέδῳ καλῶς διοικουμένῳ, καὶ πειθαρχεῖν ἐθέλοντι τοῖς ἄρχουσιν. Ἢν οὖν εἰλικρινὲς τοῦτο ποιησώμεθα, ὃ μιμησαμένοις ἡμῖν συνήνεγκεν, οὐκ ἄδηλον ὅτι τῶν πολεμίων ἐπικρατήσομεν.

λε΄. Ἴσμεν δὲ καὶ τοὺς ἐπικρατεῖς ταύτης τῆς πόλεως γενομένους, ὅτι μικρὸν μὲν στρατόπεδον εἰς τὴν Πελοπόννησον εἰσῆλθον ἔχοντες, πολλῶν δὲ καὶ μεγάλων ἐκράτησαν. Καλὸν οὖν μιμήσασθαι τοὺς προγόνους, καὶ πάλιν ἐπὶ τὴν ἀρχὴν ἐπανελθόντας, ἐπειδὴ προσεπταίκαμεν, πειραθῆναι τὰς τιμὰς ἀναλαβεῖν, ἃς πρότερον ἐτυγχάνομεν ἔχοντες. Πάντων δ᾽ ἂν δεινότατον ποιήσαιμεν, εἰ συνειδότες Ἀθηναίοις ἐκλιποῦσι τὴν χώραν ὑπὲρ τῆς τῶν ἄλλων Ἑλλήνων ἐλευθερίας, ἡμεῖς μηδὲ ὑπὲρ τῆς ἡμετέρας αὐτῶν σωτηρίας ἀφέσθαι τῆς πόλεως τολμήσαιμεν· ἀλλὰ, δέον ἡμᾶς παραδείγματα τοιούτων ἔργων καὶ ἄλλοις παρέχειν, μηδὲ μιμεῖσθαι τὰς ἐκείνων πράξεις ἐθελήσαιμεν. Ἔτι δὲ τούτου καταγελαστότερον, εἰ Φωκαεῖς μὲν φεύγοντες τὴν βασιλέως τοῦ μεγάλου δεσποτείαν, ἐκλιπόντες τὴν Ἀσίαν, εἰς Μασσαλίαν ἀπῴκησαν, ἡμεῖς δ᾽ εἰς τοῦτο μικροψυχίας ἔλθοιμεν, ὥστε τὰ προστάγματα τούτων ὑπομεῖναι, ὧν ἄρχοντες ἅπαντα τὸν χρόνον διετελέσαμεν.

λϛ΄. Χρὴ δὲ μηδὲ περὶ τὴν ἡμέραν ταύτην ταῖς ψυχαῖς διατρίβειν, ἐν ᾗ δεήσει χωρίζειν τοὺς οἰκειοτάτους εὐθὺς ἀφ᾽ ἡμῶν αὐτῶν, ἀλλ᾽ ἐκείνους τοὺς χρόνους ἀφορᾶν, ἐν οἷς περιγενόμενοι τῶν ἐχθρῶν, ἐπανορθώσομεν τὴν πόλιν, κομιούμεθα δὲ τοὺς ἡμετέρους αὐτῶν οἰκείους, ἐπιδειξόμεθα δὲ πᾶσιν, ὅτι νῦν μὲν ἀδίκως δεδυστυχήκαμεν, τὸν δὲ παρεληλυθότα χρόνον δικαίως τῶν ἄλλων πλέον ἔχειν ἠξιοῦμεν. Ἔχει δὲ οὕτως. Ἐγὼ γὰρ τούτους εἴρηκα τοὺς λόγους, οὐχ ὡς δέον ἡμᾶς ἤδη ταῦτα πράττειν, οὐδ᾽ ὡς οὐδεμιᾶς

ἄλλης ἐνούσης ἐν τοῖς πράγμασι σωτηρίας, ἀλλὰ βουλόμενος ὑμῶν προπαρασκευάσαι τὰς γνώμας, ὡς καὶ ταύτας, καὶ πολὺ τούτων δεινοτέρας συμφορὰς ὑπομενετέον ἡμῖν, πρὶν περὶ Μεσσήνης ποιήσασθαι συνθήκας, οἵας κελεύουσιν ἡμᾶς.

λζ'. Οὐχ οὕτω δ' ἂν προθύμως ἐπὶ τὸν πόλεμον ὑμᾶς παρεκάλουν, εἰ μὴ τὴν εἰρήνην ἑώρων, ἐξ ὧν μὲν ἐγὼ λέγω καλὴν καὶ βεβαίαν γενησομένην, ἐξ ὧν δ' ἔνιοι συμβουλεύουσιν, αἰσχρὰν ἐσομένην, ἀλλ' οὐδὲ χρόνον οὐδένα παραμενοῦσαν. Ἐὰν γὰρ παρακατοικήσωμεν ταύτην αὐξηθεῖσαν, τίς οὐκ οἶδεν, ὅτι τὸν πάντα βίον ἐν ταραχαῖς καὶ κινδύνοις διατελέσομεν ὄντες; ὥστε οἱ περὶ ἀσφαλείας διαλεγόμενοι, λελήθασιν αὐτοὺς τὴν μὲν εἰρήνην ὀλίγας ἡμέρας ἡμῖν ποιοῦντες, τὸν δὲ πόλεμον εἰς πάντα τὸν χρόνον κατασκευάζοντες.

λη'. Ἡδέως δ' ἂν αὐτῶν πυθοίμην, ὑπὲρ τίνων οἴονται χρῆναι μαχομένους ἡμᾶς ἀποθνήσκειν; οὐχ ὅταν οἱ πολέμιοι προστάττωσι παρὰ τὸ δίκαιον, καὶ τῆς χώρας ἀποτέμνωνται, καὶ τοὺς οἰκέτας ἐλευθερῶσι; καὶ τοὺς μὲν εἰς ταύτην κατάγωσιν, ἣν ἡμῖν οἱ πατέρες κατέλιπον, ἡμᾶς δὲ μὴ μόνον τῶν ὄντων ἀποστερῶσιν, ἀλλὰ πρὸς τοῖς ἄλλοις καὶ εἰς ὀνείδη καθιστῶσιν; ἐγὼ μὲν γὰρ ὑπὲρ τούτων οὐ μόνον πόλεμον, ἀλλὰ καὶ φυγὰς καὶ θανάτους οἶμαι προσήκειν ἡμῖν ὑπομένειν. Πολὺ γὰρ κρεῖττον ἐν ταῖς δόξαις, αἷς ἔχομεν, τελευτῆσαι τὸν βίον μᾶλλον, ἢ ζῆν ἐν πάσαις ἀτιμίαις, ποιήσαντας ἃ προστάττουσιν ἡμῖν. Εἰ δὲ δεῖ μηδὲν ὑποστειλάμενον εἰπεῖν τὸ φαινόμενον, αἱρετώτερον ἡμῖν ἀναστάτους γενέσθαι μᾶλλον, ἢ καταγελάστους ὑπὸ τῶν ἐχθρῶν. Τοὺς γὰρ ἐν ἀξιώμασι καὶ φρονήμασι τοιούτοις βεβιωκότας, δυοῖν δεῖ θάτερον, ἢ πρωτεύειν ἐν τοῖς Ἕλλησιν, ἢ παντάπασιν ἀναιρεῖσθαι, μηδὲν ταπεινὸν διαπραξαμένους

λθ'. Ἃ χρὴ λογιζομένους μὴ φιλοψυχεῖν, μηδ' ἐπακολου-

θεῖν ταῖς τῶν συμμάχων γνώμαις, ὧν ἡγεῖσθαι πρότερον ἠξιῦμεν· ἀλλ᾽ αὐτὺς σκεψαμένους, ἑλέσθαι μὴ ὃ τύτοις ῥᾷστον, ἀλλ᾽ ὃ πρέπον ἔσται τῇ Λακεδαίμονι, καὶ τοῖς πεπραγμένοις ἡμῖν. Περὶ γὰρ τῶν αὐτῶν ὐχ ὁμοίως ἅπασι βουλευτέον, ἀλλ᾽ ὡς ἂν ἐξ ἀρχῆς ἕκαστοι ποιήσωνται τύτου τὴν ὑπόθεσιν. Ἐπιδαυρίοις μὲν ὖν καὶ Φλιασίοις καὶ Κορινθίοις οὐδεὶς ἂν ἐπιπλήξειεν, εἰ μηδενὸς ἄλλου φροντίζοιεν, ἢ τῦ διαγενέσθαι καὶ περιποιῆσαι σφᾶς αὐτούς· Λακεδαιμονίους δ᾽ ὐχ οἷόν τ᾽ ἐστὶν ἐκ παντὸς τρόπου ζητεῖν τὴν σωτηρίαν, ἀλλ᾽ ἂν μὴ προσῇ τὸ καλῶς σώζεσθαι, θάνατον ἡμῖν αἱρετέον ἐστί. Τοῖς γὰρ περὶ ἀρετῆς ἀμφισβητῦσιν, ὑπὲρ ὐδενὸς ὕτω σπουδαστέον, ὡς ὑπὲρ τῦ μηδὲν αἰσχρὸν πράττοντας φανῆναι. Εἰσὶ δὲ τῶν πόλεων κακίαι καταφανεῖς, ὐχ ἧττον ἐν τοῖς τοιύτοις βουλεύμασιν, ἢ τοῖς ἐν τῷ πολέμῳ κινδύνοις. Τῶν μὲν γὰρ ἐκεῖ γιγνομένων τὸ πλεῖστον μέρος τῇ τύχῃ μέτεστι, τῶν δὲ ἐνθάδε γνωσθέντων αὐτῆς τῆς διανοίας σημεῖόν ἐστιν. Ὥσθ᾽ ὁμοίως ἡμῖν φιλονεικητέον ἐστὶν ὑπὲρ τῶν ἐνθάδε ψηφιζομένων, ὡς ὑπὲρ τῶν ἐν τοῖς πολέμοις ἀγώνων.

μ΄. Θαυμάζω δὲ τῶν ὑπὲρ τῆς ἰδίας χώρας ἀποθνήσκειν ἐθελόντων, ὑπὲρ δὲ τῆς κοινῆς μὴ τὴν αὐτὴν γνώμην ἐχόντων· ὑπὲρ ἧς ὁτιῦν πάσχειν ἄξιον, καὶ μὴ καταισχύνειν τὴν πόλιν, μηδὲ περιιδεῖν αὐτὴν ἐκλείπουσαν τὴν τάξιν, εἰς ἣν οἱ πατέρες κατέστησαν αὐτήν. Πολλῶν δὲ πραγμάτων καὶ δεινῶν ἡμῖν ἐφεστώτων, ἃ δεῖ διαφυγεῖν, ἐκεῖνο μάλιστα φυλακτέον, ὅπως μηδὲν ἀνάνδρως φανησόμεθα διαπραττόμενοι, μηδὲ συγχωροῦντες τοῖς πολεμίοις παρὰ τὸ δίκαιον. Αἰσχρὸν γὰρ τοὺς ἄρξαι τῶν Ἑλλήνων ἀξιωθέντας, ὀφθῆναι τὸ προσταττόμενον ποιοῦντας, καὶ τοσοῦτον ἀπολειφθῆναι τῶν προγόνων, ὥστε τοὺς μὲν, ὑπὲρ τοῦ τοῖς ἄλλοις ἐπιτάττειν, ἐθέλειν ἀποθνήσκειν, ἡμᾶς δὲ, ὑπὲρ τοῦ μὴ ποιεῖν τὸ προσταττόμενον, μὴ τολμᾶν κινδυνεύειν.

μα΄. Ἄξιον δὲ καὶ τὴν Ὀλυμπίαν καὶ τὰς ἄλλας αἰ-

σχυνθῆναι πανηγύρεις, ἐν αἷς ἕκαστος ἡμῶν ζηλωτότερος ἦν, καὶ θαυμαστότερος, τῶν ἀθλητῶν τῶν ἐν τοῖς ἀγῶσι τὰς νίκας ἀναιρουμένων. Εἰς ἃς τίνας ἂν τολμήσειν ἡμῶν οἴεσθε ἐλθεῖν; ἀντὶ μὲν τοῦ τιμᾶσθαι καταφρονηθησομένους, ἀντὶ δὲ τοῦ περιστάτους ὑπὸ πάντων δι' ἀρετὴν εἶναι, περιβλέπτους ὑπὸ τῶν αὐτῶν ἐπὶ κακίᾳ γενησομένους· ἔτι δὲ πρὸς τούτοις, ὀψομένους μὲν τοὺς οἰκέτας ἐκ τῆς χώρας, ἣν οἱ πατέρες ἡμῖν κατέλιπον, ἀπαρχὰς καὶ θυσίας μείζους ἡμῶν ποιουμένους, ἀκουσομένους δ' αὐτῶν τοιαύταις βλασφημίαις χρωμένων, οἵαις περ εἰκὸς τοὺς χαλεπώτερον μὲν τῶν ἄλλων δεδουλευκότας, ἐξ ἴσου δὲ νῦν τὰς συνθήκας τοῖς δεσπόταις πεποιημένους· ἐφ' αἷς ἕκαστος ἡμῶν οὕτως ἂν ἀγανακτήσειεν, ὡς οὐδεὶς ἂν τῶν ζώντων διὰ λόγων δηλῶσαι; Ὑπὲρ ὧν χρὴ βουλεύεσθαι, καὶ μὴ τότ' ἀγανακτεῖν, ὅτ' οὐδὲν ἡμῖν ἔσται πλέον, ἀλλὰ νῦν σκοπεῖν, ὅπως μηδὲν συμβήσεται τοιοῦτο. Ὡς ἔστιν ἐν τῶν αἰσχρῶν, πρότερον μὲν μηδὲ τὰς τῶν ἐλευθέρων ἰσηγορίας ἀνασχέσθαι, νῦν δὲ καὶ τὴν τῶν δούλων παῤῥησίαν ὑπομένοντας φαίνεσθαι. Δόξομεν γὰρ τὸν παρελθόντα χρόνον ἀλαζονεύεσθαι, καὶ τὴν μὲν φύσιν ὅμοιοι τοῖς ἄλλοις εἶναι, ταῖς δὲ αὐθαδείαις καὶ ταῖς σεμνότησιν οὐκ ἀληθιναῖς, ἀλλὰ πεπλασμέναις κεχρῆσθαι. Μηδὲν οὖν ἐνδῶμεν τοῖς εἰθισμένοις ἡμᾶς κακολογεῖν, ἀλλὰ τοὺς μὲν λόγους ἐξελέγξαι πειραθῶμεν, ὅμοιοι γενόμενοι τοῖς τῶν προγόνων ἔργοις.

μβ'. Ἀναμνήσθητε δὲ τῶν προγόνων τῶν πρὸς τοὺς Ἀρκάδας ἠγωνισμένων, οὓς φασιν, ἐπὶ μιᾶς ἀσπίδος παραταξαμένους, τρόπαιον στῆσαι πολλῶν μυριάδων· καὶ τῶν τριακοσίων τῶν ἐν Θυρεαῖς ἅπαντας Ἀργείους μάχῃ νικησάντων· καὶ τῶν χιλίων τῶν εἰς Θερμοπύλας ἀπαντησάντων, οἳ πρὸς ἑβδομήκοντα μυριάδας τῶν βαρβάρων συμβαλόντες, οὐκ ἔφυγον, οὐδ' ἡττήθησαν, ἀλλ' ἐνταῦθα τὸν βίον ἐτελεύτησαν, οὗ ἐτάχθησαν, τοιούτους σφᾶς αὐτοὺς παρασχόντες, ὥστε τοὺς μετὰ τέχνης ἐγκωμιάζοντας, μὴ

δύνασθαι τοὺς ἐπαίνους ἐξισῶσαι ταῖς ἐκείνων ἀρεταῖς. Ἁπάντων οὖν τούτων μνησθέντας, ἐῤῥωμένως ἀντιλαβώμεθα τοῦ πολεμεῖν, καὶ μὴ περιμείνωμεν, ὡς ἄλλων τινῶν τὰς παρούσας ἀτυχίας ἰασομένων, ἀλλ᾽ ἐπειδή περ ἐφ᾽ ἡμῶν γεγόνασιν, ἡμεῖς αὐτὰς διαλῦσαι πειραθῶμεν. Χρὴ γὰρ τοὺς ἄνδρας τοὺς ἀγαθοὺς ἐν τοῖς τοιούτοις καιροῖς φαίνεσθαι διαφέροντας· αἱ μὲν γὰρ εὐτυχίαι, καὶ τοῖς φαύλοις τῶν ἀνθρώπων τὰς κακίας συγκρύπτουσιν, αἱ δὲ δυσπραξίαι ταχέως καταφανεῖς ποιοῦσιν, οἷοί περ ἕκαστοι τυγχάνουσιν ὄντες· ἐν αἷς ἡμῖν ἐπιδεικτέον ἐστὶν, ὅτι τῶν ἄλλων ἄμεινον τεθράμμεθα καὶ πεπαιδεύμεθα πρὸς ἀρετήν.

μγ΄. Ἔστι δ᾽ οὐδὲν ἀνέλπιστον, ἐκ τῶν νυνὶ παρόντων συμβῆναί τι τῶν μὴ παρόντων ἡμῖν. Οἶμαι γὰρ ὑμᾶς οὐκ ἀγνοεῖν, ὅτι πολλαὶ πράξεις ἤδη τοιαῦται γεγόνασιν, ἃς ἐν ἀρχῇ μὲν ἅπαντες ὑπέλαβον εἶναι συμφορὰς, καὶ τοῖς παθοῦσι συνηχθέσθησαν, ὕστερον δὲ τὰς αὐτὰς ταύτας ἔγνωσαν μεγίστων ἀγαθῶν αἰτίας γεγενημένας. Καὶ τί δεῖ τὰ πόῤῥω λέγειν; ἀλλὰ νῦν τὰς πόλεις τὰς πρωτευούσας, λέγω δὴ τὴν Ἀθηναίων καὶ Θηβαίων, εὕροιμεν ἂν οὐκ ἐκ τῆς εἰρήνης μεγάλην ἐπίδοσιν λαμβανούσας, ἀλλ᾽ ἐξ ὧν ἐν τῷ πολέμῳ δυστυχήσασαι πάλιν ἀνέλαβον αὐτάς· ἐκ δὲ τούτων τὴν μὲν ἡγεμόνα καταστᾶσαν, τὴν δὲ ἐν τῷ παρόντι τηλικαύτην γεγενημένην, ὅσην οὐδεὶς ἔσεσθαι πώποτε προσεδόκησεν. Αἱ γὰρ ἐπιφάνειαι καὶ λαμπρότητες οὐκ ἐκ τῆς ἡσυχίας, ἀλλ᾽ ἐκ τῶν ἀγώνων γίγνεσθαι φιλοῦσιν. Ὧν ἡμᾶς ὀρέγεσθαι προσήκει, μήτε τῶν σωμάτων, μήτε τῆς ψυχῆς, μήτε τῶν ἄλλων, ὧν ἔχομεν, μηδενὸς φειδομένους. Ἐὰν γὰρ κατορθώσωμεν, καὶ τὴν πόλιν εἰς ταὐτὸ καταστῆσαι δυνηθῶμεν, ἐξ ὧν περ ἐκπέπτωκε, καὶ τῶν προγεγενημένων μᾶλλον ἐγκωμιασθησόμεθα, καὶ τοῖς ἐπιγιγνομένοις οὐδεμίαν ὑπερβολὴν ἀνδραγαθίας ὑπολείψομεν· ἀλλὰ καὶ τοὺς βουλομένους ἡμᾶς εὐλογεῖν, ἀπορεῖν ποιήσομεν, τί τῶν

πεπραγμένων ἡμῖν ἀξίως ἐροῦσι. Δεῖ δὲ μηδὲ τοῦτο λανθάνειν ὑμᾶς, ὅτι πάντες τῷ συλλόγῳ τούτῳ, καὶ τοῖς γνωσθησομένοις ὑφ᾽ ὑμῶν προσέξουσι τὸν νοῦν. Ὥσπερ οὖν ἐν κοινῷ θεάτρῳ τῶν Ἑλλήνων, διδοὺς ἔλεγχον ἕκαστος ὑμῶν τῆς αὑτοῦ φύσεως, οὕτω διακείσθω τὴν γνώμην.

μδʹ. Ἔστι δ᾽ ἁπλοῦν τὸ καλῶς βουλεύσασθαι περὶ τούτων. Ἐὰν μὲν γὰρ ἐθέλωμεν ἀποθνήσκειν ὑπὲρ τῶν δικαίων, οὐ μόνον εὐδοκιμήσομεν, ἀλλὰ καὶ τὸν ἐπίλοιπον χρόνον ἀσφαλῶς ἡμῖν ἐξέσται ζῆν. Εἰ δὲ φοβηθησόμεθα τοὺς κινδύνους, εἰς πολλὰς ταραχὰς καταστήσομεν ἡμᾶς αὐτούς. Παρακαλέσαντες οὖν ἀλλήλους, ἀποδῶμεν τὰ τροφεῖα τῇ πατρίδι, καὶ μὴ περιίδωμεν ὑβρισθεῖσαν τὴν Λακεδαίμονα, καὶ καταφρονηθεῖσαν, μηδὲ ψευσθῆναι ποιήσωμεν τῶν ἐλπίδων τοὺς εὔνους ἡμῖν ὄντας, μηδὲ περὶ πλείονος ποιούμενοι τὸ ζῆν, προδόται φανῶμεν τοῦ παρὰ πᾶσιν ἀνθρώποις εὐδοκιμεῖν· ἐνθυμηθέντες, ὅτι κάλλιόν ἐστιν ἀντὶ θνητοῦ σώματος ἀθάνατον δόξαν ἀντικαταλλάξασθαι, καὶ ψυχῆς, ἧς οὐκ εὐπορήσομεν ὀλίγων ἐτῶν, πρίασθαι τοιαύτην εὔκλειαν, ἣ πάντα τὸν αἰῶνα τοῖς ἐξ ἡμῶν γιγνομένοις παραμενεῖ. Πολὺ γὰρ μᾶλλον κρεῖττον μεγάλου καιροῦ τιμὴν ἀνταλλάξασθαι, ἢ μικροῦ χρόνου μεγάλαις αἰσχύναις ἡμᾶς αὐτοὺς περιβαλεῖν. Ἡγοῦμαι δ᾽ ἂν ὑμᾶς οὕτω μάλιστα παροξυνθῆναι πρὸς τὸν πόλεμον, εἰ ταῖς διανοίαις ὥσπερ παρεστῶτας ἴδοιτε τοὺς γονέας καὶ τοὺς παῖδας τοὺς ὑμετέρους, τοὺς μὲν παρακελευομένους μὴ καταισχῦναι τὸ τῆς Σπάρτης ὄνομα, μηδὲ τοὺς νόμους, ἐν οἷς ἐπαιδεύθημεν, μηδὲ τὰς μάχας τὰς ἐφ᾽ ἑαυτῶν γενομένας, τοὺς δὲ ἀπαιτοῦντας τὴν χώραν ἣν οἱ πρόγονοι κατέλιπον, καὶ τὴν δυναστείαν τὴν ἐν τοῖς Ἕλλησι, καὶ τὴν ἡγεμονίαν, ἥνπερ αὐτοὶ παρὰ τῶν πατέρων παρελάβομεν· πρὸς οὓς οὐκ ἂν ἔχοιμεν εἰπεῖν, ὡς οὐκ ἀμφότεροι δίκαια τυγχάνουσι λέγοντες.

μεʹ. Οὐκ οἶδ᾽ ὅτι δεῖ μακρολογεῖν, πλὴν τοσοῦτον, ὡς

πολλῶν τῇ πόλει πολέμων καὶ κινδύνων γεγενημένων, οὐδεπώποτε οἱ πολέμιοι τρόπαιον ἡμῶν ἔστησαν, ἡγουμένου βασιλέως ἐκ τῆς οἰκίας τῆς ἡμετέρας. Ἔστι δὲ νοῦν ἐχόντων ἀνδρῶν, οἵσπερ ἐν ταῖς μάχαις ἡγεμόσι χρώμενοι κατορθοῦσι, τούτοις καὶ περὶ τῶν μελλόντων κινδύνων συμβουλεύουσι μᾶλλον, ἢ τοῖς ἄλλοις πείθεσθαι.

ΙΣΟΚΡΑΤΟΥΣ

# ΕΥΑΓΟΡΟΥ ΕΓΚΩΜΙΟΝ

Η

ΕΥΑΓΟΡΑΣ.

Ὁρῶν, ὦ Νικόκλεις, τιμῶντά σε τὸν τάφον τοῦ πατρὸς, οὐ μόνον τῷ πλήθει καὶ τῷ κάλλει τῶν ἐπιφερομένων, ἀλλὰ καὶ χοροῖς καὶ μουσικῇ καὶ γυμνικοῖς ἀγῶσιν, ἔτι δὲ πρὸς τούτοις ἵππων τε καὶ τριηρῶν ἁμίλλαις, καὶ λείποντα ὐδεμίαν τῶν τοιούτων ὑπερβολὴν, ἡγησάμην Εὐαγόραν, εἴ τις ἐςὶν αἴσθησις τοῖς τετελευτηκόσι περὶ τῶν ἐνθάδε γιγνομένων, εὐμενῶς μὲν ἀποδέχεσθαι καὶ ταῦτα, καὶ χαίρειν ὁρῶντα τήν τε περὶ αὐτὸν ἐπιμέλειαν, καὶ τὴν σὴν μεγαλοπρέπειαν, πολὺ δ' ἂν ἔτι πλείω χάριν ἔχειν, ἢ τοῖς ἄλλοις ἅπασιν, εἴ τις δυνηθείη περὶ τῶν ἐπιτηδευμάτων αὐτοῦ καὶ τῶν κινδύνων ἀξίως διελθεῖν τῶν ἐκείνῳ πεπραγμένων· εὑρήσομεν γὰρ τοὺς φιλοτίμους καὶ μεγαλοψύχους τῶν ἀνδρῶν, ὐ μόνον ἀντὶ τῶν τοιούτων ἐπαινεῖσθαι βουλομένους, ἀλλ' ἀντὶ τοῦ ζῆν ἀποθνήσκειν εὐκλεῶς αἱρουμένους, καὶ μᾶλλον περὶ τῆς δόξης ἢ τοῦ βίου σπουδάζοντας, καὶ πάντα ποιοῦντας, ὅπως ἀθάνατον τὴν περὶ αὐτῶν μνήμην καταλείψουσιν. Αἱ μὲν οὖν δαπάναι τῶν μὲν τοιούτων οὐδὲν ἐξεργάζονται, τοῦ δὲ πλούτου σημεῖον εἰσίν· οἱ δὲ περὶ τὴν μουσικὴν καὶ τὰς ἄλλας ἀγωνίας ὄντες, οἱ μὲν τὰς δυνάμεις αὐτῶν, οἱ δὲ τὰς τέχνας ἐπιδειξάμενοι, σφᾶς αὐτοὺς ἐντιμοτέρους κατέστησαν· ὁ δὲ λόγος, εἰ καλῶς διέλθοι τὰς ἐκείνυ πράξεις, ἀείμνηστον ἂν τὴν ἀρετὴν τὴν Εὐαγόρου παρὰ πᾶσιν ἀνθρώποις ποιήσειεν.

β΄. Ἐχρῆν μὲν οὖν καὶ τοὺς ἄλλους ἐπαινεῖν τοὺς ἐφ᾽ ἑαυτῶν ἄνδρας ἀγαθοὺς γεγενημένους· ἵνα οἵ τε δυνάμενοι τὰ τῶν ἄλλων ἔργα κοσμεῖν, ἐν εἰδόσι ποιούμενοι τοὺς λόγους, ταῖς ἀληθείαις ἐχρῶντο περὶ αὐτῶν, οἵ τε νεώτεροι φιλοτιμοτέρως διέκειντο πρὸς τὴν ἀρετὴν, εἰδότες, ὅτι τούτων εὐλογηθήσονται μᾶλλον, ὧν ἂν ἀμείνους σφᾶς αὐτοὺς παράσχωσι. Νῦν δὲ τίς οὐκ ἂν ἀθυμήσειεν, ὅταν ὁρᾷ τοὺς μὲν περὶ τὰ Τρωϊκὰ, ἢ τοὺς ἐπέκεινα γενομένους, ὑμνουμένους, καὶ τραγῳδουμένους, ἑαυτὸν δὲ προειδῇ, μηδ᾽ ἂν ὑπερβάληται τὰς ἐκείνων ἀρετὰς, μηδέποτε τοιούτων ἐπαίνων ἀξιωθησόμενον; Τούτων δ᾽ αἴτιος ὁ φθόνος, ᾧ τοῦτο μόνον πρόσεστιν ἀγαθὸν, ὅτι μέγιστον κακὸν τοῖς ἔχουσίν ἐστιν. Οὕτω γάρ τινες δυσκόλως πεφύκασιν, ὥσθ᾽ ἥδιον εὐλογουμένων ἀκούειν, οὓς οὐκ ἴσασιν εἰ γεγόνασιν, ἤ τι τούτων, ὑφ᾽ ὧν εὖ πεπονθότες αὐτοὶ τυγχάνουσιν, ἀποδέχεσθαι. Οὐ μὴν δουλευτέον τούς γε νοῦν ἔχοντας τοῖς οὕτω κακῶς φρονοῦσιν, ἀλλὰ τῶν μὲν τοιούτων ἀμελητέον, τοὺς δὲ ἄλλους ἐθιστέον ἀκούειν, περὶ ὧν καὶ λέγειν δικαιότερόν ἐστιν, ἄλλως τε καὶ ἐπειδὴ τὰς ἐπιδόσεις ὁρῶμεν γιγνομένας, καὶ τῶν τεχνῶν, καὶ τῶν ἄλλων ἁπάντων, οὐ διὰ τοὺς ἐμμένοντας τοῖς καθεστῶσιν, ἀλλὰ διὰ τοὺς ἐπανορθοῦντας, καὶ τολμῶντας ἀεί τι κινεῖν τῶν μὴ καλῶς ἐχόντων.

γ. Οἶδα μὲν οὖν, ὅτι χαλεπόν ἐστιν ὃ μέλλω ποιεῖν, ἀνδρὸς ἀρετὴν διὰ λόγων ἐγκωμιάζειν. Σημεῖον δὲ μέγιστον· περὶ μὲν γὰρ ἄλλων πολλῶν καὶ παντοδαπῶν λέγειν τολμῶσιν οἱ περὶ τὴν φιλοσοφίαν ὄντες· περὶ δὲ τῶν τοιούτων οὐδεὶς πώποτε αὐτῶν συγγράφειν ἐπεχείρησε. Καὶ πολλὴν αὐτοῖς ἔχω συγγνώμην· τοῖς μὲν γὰρ ποιηταῖς πολλοὶ δέδονται κόσμοι· καὶ γὰρ πλησιάζοντας τοῖς ἀνθρώποις τοὺς θεοὺς οἷόν τ᾽ αὐτοῖς ἐστι ποιῆσαι, καὶ διαλεγομένους, καὶ συναγωνιζομένους, οἷς ἂν βουληθῶσι, καὶ περὶ τούτων δηλῶσαι, μὴ μόνον τοῖς τεταγμένοις ὀνόμασιν, ἀλλὰ τὰ μὲν ξένοις, τὰ δὲ καινοῖς, τὰ δὲ μεταφοραῖς, καὶ μηδὲν παρα-

λιπεῖν, ἀλλὰ πᾶσι τοῖς εἴδεσι διαποικῖλαι τὴν ποίησιν· τοῖς δὲ περὶ τοὺς λόγους οὐδὲν ἔξεστι τῶν τοιούτων· ἀλλ' ἀποτόμως καὶ τῶν ὀνομάτων τοῖς πολιτικοῖς, καὶ τῶν ἐνθυμημάτων τοῖς περὶ αὐτὰς τὰς πράξεις ἀναγκαῖόν ἐστι χρῆσθαι. Πρὸς δὲ τούτοις οἱ μὲν μετὰ μέτρων καὶ ῥυθμῶν ἅπαντα ποιοῦσιν· οἱ δὲ οὐδενὸς τούτων κοινωνοῦσιν, ἃ τοσαύτην ἔχει χάριν, ὥστ', ἂν καὶ τῇ λέξει καὶ τοῖς ἐνθυμήμασιν ἔχῃ κακῶς, ὅμως ταῖς γε εὐρυθμίαις καὶ ταῖς συμμετρίαις ψυχαγωγοῦσι τοὺς ἀκούοντας. Καταμάθοι δ' ἄν τις ἐκεῖθεν τὴν δύναμιν αὐτῶν· ἢν γάρ τις τῶν ποιημάτων τῶν εὐδοκιμούντων τὰ μὲν ὀνόματα καὶ τὰς διανοίας καταλίπῃ, τὸ δὲ μέτρον διαλύσῃ, φανήσεται πολὺ καταδεέστερα τῆς δόξης, ἧς νῦν ἔχομεν περὶ αὐτῶν. Ὅμως δὲ, καίπερ τοσοῦτον πλεονεκτούσης τῆς ποιήσεως, οὐκ ὀκνητέον, ἀλλ' ἀποπειρατέον ἐστὶ τῶν λόγων, εἰ καὶ οὗτοι δυνήσονται τοὺς ἀγαθοὺς ἄνδρας εὖ λέγειν μηδὲν χεῖρον τῶν ἐν ταῖς ᾠδαῖς καὶ τοῖς μέτροις ἐγκωμιαζόντων.

δ'. Πρῶτον μὲν οὖν περὶ τῆς φύσεως τῆς Εὐαγόρου, καὶ τίνων ἦν ἀπόγονος, εἰ καὶ πολλοὶ προεπίστανται, δοκεῖ μοι πρέπειν καὶ ἐμὲ τῶν ἄλλων ἕνεκα διελθεῖν περὶ αὐτῶν, ἵνα πάντες εἰδῶσιν, ὅτι, καλλίστων αὐτῷ καὶ μεγίστων παραδειγμάτων καταλειφθέντων, οὐδὲν καταδεέστερον ἑαυτὸν ἐκείνων παρέσχεν. Ὁμολογεῖται μὲν γὰρ, τοὺς ἀπὸ Διὸς εὐγενεστάτους τῶν ἡμιθέων εἶναι· τούτων δὲ αὐτῶν οὐκ ἔστιν ὅστις οὐκ ἂν Αἰακίδας προκρίνειεν. Ἐν μὲν γὰρ τοῖς ἄλλοις γένεσιν εὑρήσομεν τοὺς μὲν ὑπερβάλλοντας, τοὺς δὲ καταδεεστέρους ὄντας· οὗτοι δὲ ἅπαντες ὀνομαστότατοι τῶν καθ' ἑαυτοὺς γεγόνασι.

ε'. Τοῦτο μὲν γὰρ Αἰακὸς ὁ Διὸς μὲν ἔκγονος, τοῦ δὲ γένους τοῦ Τευκριδῶν πρόγονος, τοσοῦτον διήνεγκεν, ὥστε, γενομένων αὐχμῶν ἐν τοῖς Ἕλλησι, καὶ πολλῶν ἀνθρώπων διαφθαρέντων, ἐπειδὴ τὸ μέγεθος τῆς συμφορᾶς ὑπερέβαλεν, ἦλθον οἱ προεστῶτες τῶν πόλεων, ἱκετεύοντες αὐτὸν, νομί-

ζοντες, διὰ τῆς εὐγενείας καὶ τῆς εὐσεβείας τῆς ἐκείνου τάχιστ' ἂν εὑρέσθαι παρὰ τῶν θεῶν τῶν παρόντων κακῶν ἀπαλλαγήν. Σωθέντες δὲ, καὶ τυχόντες ἁπάντων ὧν ἐδεήθησαν, ἱερὸν ἐν Αἰγίνῃ κατεστήσαντο κοινὸν τῶν Ἑλλήνων, οὗπερ ἐκεῖνος ἐποιήσατο τὴν εὐχήν. Καὶ κατ' ἐκεῖνον μὲν τὸν χρόνον, ἕως ἦν μετ' ἀνθρώπων, μετὰ καλλίστης δόξης ὢν διετέλεσεν· ἐπειδὴ δὲ μετήλλαξε τὸν βίον, λέγεται παρὰ Πλούτωνι καὶ Κόρῃ τιμὰς μεγίστας ἔχων παρεδρεύειν ἐκείνοις.

ϛ'. Τούτου δὲ παῖδες ἦσαν Τελαμὼν καὶ Πηλεύς· ὧν ὁ μὲν ἕτερος, μεθ' Ἡρακλέους ἐπὶ Λαομέδοντα στρατευσάμενος, τῶν ἀριστείων ἔτυχε, Πηλεὺς δὲ, ἐν τῇ μάχῃ τῇ πρὸς Κενταύρους ἀριστεύσας, καὶ κατὰ πολλοὺς ἄλλους κινδύνους εὐδοκιμήσας, Θέτιδι τῇ Νηρέως θνητὸς ὢν ἀθανάτῳ συνῴκησε· καὶ μόνου τούτου φασὶ τῶν προγεγενημένων, ὑπὸ θεῶν ἐν τοῖς γάμοις ὑμέναιον ᾀσθῆναι.

ζ'. Τούτοιν δ' ἑκατέροιν, Τελαμῶνος μὲν Αἴας καὶ Τεῦκρος ἐγεννήθη, Πηλέως δὲ Ἀχιλλεύς, οἳ μέγιστον καὶ σαφέστατον ἔλεγχον ἔδοσαν τῆς αὑτῶν ἀρετῆς· οὐ γὰρ ἐν ταῖς αὑτῶν πόλεσιν ἐπρώτευσαν μόνον, οὐδὲ ἐν τοῖς τόποις, ἐν οἷς κατῴκουν, ἀλλὰ στρατείας τοῖς Ἕλλησιν ἐπὶ τοὺς Βαρβάρους γενομένης, καὶ πολλῶν μὲν ἑκατέρωθεν ἀθροισθέντων, οὐδενὸς δὲ τῶν ὀνομαστῶν ἀπολειφθέντος, ἐν τούτοις τοῖς κινδύνοις Ἀχιλλεὺς μὲν ἁπάντων διήνεγκεν, Αἴας δὲ μετ' ἐκεῖνον ἠρίστευσε· Τεῦκρος δὲ τῆς τε τούτων συγγενείας ἄξιος καὶ τῶν ἄλλων οὐδενὸς χείρων γενόμενος, ἐπειδὴ Τροίαν συνεξεῖλεν, ἀφικόμενος εἰς Κύπρον, Σαλαμῖνά τε κατῴκισεν, ὁμώνυμον ποιήσας τῆς πρότερον αὐτῷ πατρίδος οὔσης, καὶ τὸ γένος τὸ νῦν βασιλεῦον κατέλιπε.

η'. Τὰ μὲν οὖν ἐξ ἀρχῆς Εὐαγόρᾳ παρὰ τῶν προγόνων ὑπάρξαντα, τηλικαῦτα τὸ μέγεθός ἐστι. Τοῦτον δὲ τὸν τρόπον τῆς πόλεως οἰκισθείσης, κατὰ μὲν ἀρχὰς οἱ γεγονότες ἀπὸ Τεύκρου τὴν βασιλείαν εἶχον· χρόνῳ δὲ ὕστερον ἀφικόμενος ἐκ Φοινίκης ἀνὴρ φυγάς, καὶ πιστευθεὶς ὑπὸ τοῦ

βασιλεύοντες τότε, καὶ δυναστείας μεγάλας λαβὼν, οὐ χάριν ἔσχε τούτων, ἀλλὰ κακὸς μὲν γενόμενος περὶ τὸν ὑποδεξάμενον, δεινὸς δὲ πρὸς τὸ πλεονεκτῆσαι, τὸν μὲν εὐεργέτην ἐξέβαλεν, αὐτὸς δὲ τὴν βασιλείαν κατέσχεν. Ἀπιστῶν δὲ τοῖς πεπραγμένοις, καὶ βουλόμενος ἀσφαλῶς καταθέσθαι τὰ περὶ αὐτὸν τήν τε πόλιν ἐξεβαρβάρωσε, καὶ τὴν νῆσον ὅλην βασιλεῖ τῷ μεγάλῳ κατεδούλωσεν.

θʹ. Οὕτω δὲ τῶν πραγμάτων καθεστώτων, Εὐαγόρας γίγνεται· περὶ οὗ τὰς μὲν φήμας καὶ τὰς μαντείας καὶ τὰς ὄψεις, τὰς ἐν τοῖς ὕπνοις γενομένας, ἐξ ὧν μείζων ἂν φανείη γεγονὼς ἢ κατὰ ἄνθρωπον, αἱροῦμαι καταλιπεῖν· οὐκ ἀπιστῶν τοῖς λεγομένοις, ἀλλ' ἵνα πᾶσι ποιήσω φανερὸν, ὅτι τοσούτου δέω πλασάμενος εἰπεῖν τι περὶ τῶν ἐκείνῳ πεπραγμένων, ὥστε καὶ τῶν ὑπαρχόντων ἀφίημι τὰ τοιαῦτα, περὶ ὧν ὀλίγοι τινὲς ἐπίστανται, καὶ μὴ πάντες οἱ πολῖται συνίσασιν. Ἄρξομαι δὲ ἐκ τῶν ὁμολογουμένων λέγειν περὶ αὐτοῦ.

ιʹ. Παῖς μὲν γὰρ ὢν ἔσχε κάλλος καὶ ῥώμην καὶ σωφροσύνην, ἅπερ τῶν ἀγαθῶν πρεπωδέστατα τοῖς τηλικούτοις ἐστί. Καὶ τούτων ἂν τις μάρτυρας ποιήσαιτο, τῆς μὲν σωφροσύνης τοὺς συμπαιδευθέντας τῶν πολιτῶν· τοῦ δὲ κάλλους, ἅπαντας τοὺς ἰδόντας· τῆς δὲ ῥώμης τοὺς ἀγῶνας, ἐν οἷς ἐκεῖνος τῶν ἡλικιωτῶν ἐκρατίστευσεν. Ἀνδρὶ δὲ γενομένῳ, ταῦτά τε πάντα συνηυξήθη, καὶ πρὸς τούτοις ἀνδρία προσεγένετο, καὶ σοφία, καὶ δικαιοσύνη· καὶ ταῦτα οὐ μέσως, οὐδὲ ὥσπερ ἐν ἑτέροις τισὶν, ἀλλ' ἕκαστον αὐτῶν πρὸς ὑπερβολήν. Τοσοῦτον γὰρ καὶ ταῖς τοῦ σώματος καὶ ταῖς τῆς ψυχῆς ἀρεταῖς διήνεγκεν, ὥστε, ὁπότε μὲν αὐτὸν ὁρῷεν οἱ τότε βασιλεύοντες, ἐκπλήττεσθαι καὶ φοβεῖσθαι περὶ τῆς ἀρχῆς, ἡγουμένους οὐχ οἷόν τ' εἶναι τὸν τοιοῦτον τὴν φύσιν ἐν ἰδιώτου μέρει διαγαγεῖν· ὁπότε δὲ εἰς τοὺς τρόπους

ἀποβλέψιαιεν οὕτω σφόδρα πιστεύειν, ὥστε, καὶ εἴ τις ἄλλος τολμῴη περὶ αὐτοὺς ἐξαμαρτάνειν, νομίζειν Εὐαγόραν αὐτοῖς ἔσεσθαι βοηθόν.

ια΄. Καὶ τοσοῦτον τῆς δόξης παραλλαττούσης, οὐδετέρου τούτων ἐψεύσθησαν· οὔτε γὰρ ἰδιώτης ὢν διετέλεσεν, οὔτε περὶ ἐκείνους ἐξήμαρτεν, ἀλλὰ τοσαύτην ὁ δαίμων ἔσχεν αὐτοῦ πρόνοιαν, ὅπως καλῶς λήψεται τὴν βασιλείαν, ὥσθ', ὅσα μὲν ἀναγκαῖον ἦν παρασκευασθῆναι δι' ἀσεβείας, ταῦτα μὲν ἕτερος ἔπραξεν, ἐξ ὧν δὲ οἷόν τ' ἦν ὁσίως καὶ δικαίως λαβεῖν τὴν ἀρχὴν, Εὐαγόραν διεφύλαξεν. Εἷς γὰρ τῶν δυναστευόντων ἐπιβουλεύσας, τόν τε τύραννον ἀπέκτεινε, καὶ συλλαβεῖν Εὐαγόραν ἐπεχείρησεν, ἡγούμενος οὐ δυνήσεσθαι κατασχεῖν τὴν ἀρχὴν, εἰ μὴ κἀκεῖνον ἐκ ποδῶν ποιήσειε. Διαφυγὼν δὲ τὸν κίνδυνον, καὶ σωθεὶς εἰς Σόλους τῆς Κιλικίας, οὐ τὴν αὐτὴν γνώμην ἔσχε τοῖς ταῖς τοιαύταις συμφοραῖς περιπίπτουσι· οἱ μὲν γὰρ ἄλλοι, κἂν ἐκ τυραννίδος ἐκπέσωσι, διὰ τὰς παρούσας τύχας, ταπεινοτέρας τὰς ψυχὰς ἔχουσιν· ἐκεῖνος δὲ εἰς τοσοῦτο μεγαλοφροσύνης ἦλθεν, ὥστε τὸν ἄλλον χρόνον ἰδιώτης ὢν, ἐπειδὴ φυγεῖν ἠναγκάσθη, τυραννεῖν ᾠήθη δεῖν. Καὶ τοὺς μὲν πλάνους τοὺς φυγαδικοὺς, καὶ τὸ δι' ἑτέρων ζητεῖν τὴν κάθοδον, καὶ θεραπεύειν τοὺς αὐτοῦ χείρους, ὑπερεῖδε· λαβὼν δὲ ταύτην τὴν ἀφορμὴν, ἥνπερ χρὴ τοὺς εὐσεβεῖν βουλομένους, ἀμύνεσθαι καὶ μὴ προτέρους ὑπάρχειν, καὶ προελόμενος, ἢ κατορθώσας τυραννεῖν, ἢ διαμαρτὼν ἀποθανεῖν, παρακαλέσας ἀνθρώπους, ὡς οἱ πλεῖστοι λέγουσι, περὶ πεντήκοντα, μετὰ τούτων παρεσκευάζετο ποιεῖσθαι τὴν κάθοδον. Ὅθεν καὶ μάλιστ' ἄν τις τὴν φύσιν τὴν ἐκείνου, καὶ τὴν δόξαν, ἣν εἶχε παρὰ τοῖς ἄλλοις, θεωρήσειε· μέλλων τε γὰρ πλεῖν μετὰ τοσούτων ἐπὶ τηλικαύτην πρᾶξιν τὸ μέγεθος, καὶ πάντων τῶν δεινῶν πλησίον ὄντων, οὔτ' ἐκεῖνος ἠθύμησεν, οὔτε τῶν παρακληθέντων οὐδεὶς ἀποστῆναι τῶν κινδύνων ἠξίωσεν· ἀλλ' οἱ μὲν, ὥσπερ θεῷ συνακολουθήσαντες, ἅπαντες ἐνέμειναν τοῖς

ὡμολογημένοις· ὁ δὲ, ὥσπερεὶ στρατόπεδον ἔχων κρεῖττον τῶν ἀντιπάλων, ἢ προειδὼς τὸ συμβησόμενον, οὕτω διέκειτο τὴν γνώμην.

ιβʹ. Δῆλον δὲ ἐκ τῶν ἔργων· ἀποβὰς γὰρ εἰς τὴν νῆσον, οὐχ ἡγήσατο δεῖν χωρίον ἐχυρὸν καταλαβὼν, καὶ τὸ σῶμα ἐπ᾽ ἀσφαλείᾳ καταστήσας, περιιδεῖν, εἴ τινες αὐτῷ τῶν πολιτῶν βοηθήσουσιν· ἀλλ᾽ εὐθὺς, ὥσπερ εἶχε, ταύτης τῆς νυκτὸς, διελὼν τοῦ τείχους πυλίδα, καὶ ταύτῃ τοὺς μεθ᾽ ἑαυτοῦ διαγαγὼν, προσέβαλε πρὸς τὸ βασίλειον· Καὶ τοὺς μὲν θορύβους τοὺς ἐν τοῖς τοιούτοις καιροῖς συμβαίνοντας, καὶ τοὺς φόβους τοὺς τῶν ἄλλων, καὶ τὰς παρακελεύσεις τὰς ἐκείνου, τί δεῖ λέγοντα διατρίβειν; Γενομένων δ᾽ αὐτῷ τῶν μὲν περὶ τὸν τύραννον, ἀνταγωνιστῶν, τῶν δὲ ἄλλων πολιτῶν, θεατῶν (δεδιότες γὰρ τοῦ μὲν τὴν ἀρχὴν, τοῦ δὲ τὴν ἀρετὴν, ἡσυχίαν ἦγον), οὐ πρότερον ἐπαύσατο μαχόμενος καὶ μόνος πρὸς πολλοὺς, καὶ μετ᾽ ὀλίγων πρὸς ἅπαντας τοὺς ἐχθροὺς, πρὶν ἑλὼν τὸ βασίλειον, καὶ τοὺς ἐχθροὺς ἐτιμωρήσατο, καὶ τοῖς φίλοις ἐβοήθησεν, ἔτι δὲ τῷ γένει τὰς τιμὰς τὰς πατρίους ἐκομίσατο, καὶ τύραννον αὑτὸν τῆς πόλεως κατέστησεν.

ιγʹ. Ἡγοῦμαι μὲν οὖν, εἰ καὶ μηδενὸς ἄλλου μνησθείην, ἀλλ᾽ ἐνταῦθα καταλίποιμι τὸν λόγον, ῥᾴδιον ἐκ τούτων εἶναι γνῶναι τήν τε ἀρετὴν τὴν Εὐαγόρου, καὶ τὸ μέγεθος τῶν ἐκείνῳ πεπραγμένων. Οὐ μὴν ἀλλ᾽ ἔτι γε σαφέστερον περὶ ἀμφοτέρων τούτων ἐκ τῶν ἐχομένων οἶμαι δηλώσειν.

ιδʹ. Τοσούτων γὰρ τυράννων ἐν ἅπαντι τῷ χρόνῳ γεγενημένων, οὐδεὶς φανήσεται τὴν τιμὴν ταύτην, κάλλιον ἐκείνου κτησάμενος. Εἰ μὲν οὖν πρὸς ἕκαστον αὐτῶν τὰς πράξεις τὰς Εὐαγόρου παραβάλοιμεν, οὔτ᾽ ἂν ὁ λόγος ἴσως τοῖς ἀκούουσιν ἀρέσειεν, οὔτ᾽ ἂν ὁ χρόνος τοῖς λεγομένοις ἀρκέσειεν· ἐὰν δὲ προελόμενοι τοὺς εὐδοκιμωτάτους, ἐπὶ τούτων σκοπῶμεν, οὐδὲν μὲν χεῖρον λέξομεν, πολὺ δὲ συντομώτερον διαλεχθησόμεθα περὶ αὐτῶν.

ιέ. Τῶν μὲν οὖν τὰς πατρικὰς βασιλείας παραλαβόντων, τίς ἐκ ἂν τὲς Εὐαγόρου κινδύνους προκρίνειεν; Οὐδεὶς γάρ ἐστιν ὅτω ῥάθυμος, ὅστις ἂν δέξαιτο παρὰ τῶν προγόνων τὴν ἀρχὴν ταύτην παραλαβεῖν μᾶλλον, ἢ κτησάμενος ὁσίως, ὥσπερ ἐκεῖνος, τοῖς παισὶ τοῖς ἑαυτῦ καταλιπεῖν.

ιϛ'. Καὶ μὴν τῶν γε παλαιῶν καθόδων αὗται μάλιστα εὐδοκιμῦσιν, ἃς παρὰ τῶν ποιητῶν ἀκέομεν· ὅτοι γὰρ ὁ μόνον τῶν προγεγενημένων τὰς καλλίστας ἡμῖν ἀπαγγέλλουσιν, ἀλλὰ καὶ παρ' αὐτῶν καινὰς συντιθέασιν. Ἀλλ' ὅμως οὐδεὶς αὐτῶν μεμυθολόγηκεν, ὅστις ὅτω δεινὲς καὶ φοβερὲς ποιησάμενος κινδύνους, εἰς τὴν ἑαυτῦ κατῆλθεν· ἀλλ' οἱ μὲν πλεῖστοι πεποίηνται διὰ τύχην λαβόντες τὰς βασιλείας, οἱ δὲ μετὰ δόλου καὶ τέχνης περιγενόμενοι τῶν ἐχθρῶν.

ιζ'. Ἀλλὰ μὴν τῶν γε ἔπειτα γεγενημένων, ἴσως δὲ καὶ τῶν ἁπάντων, Κῦρον τὸν Μήδων μὲν ἀφελόμενον τὴν ἀρχὴν, Πέρσαις δὲ κτησάμενον, οἱ πλεῖστοι καὶ μάλιστα θαυμάζουσιν· ἀλλ' ὁ μὲν τῷ Περσῶν στρατοπέδῳ τὸ Μήδων ἐνίκησεν, ὃ πολλοὶ καὶ τῶν Ἑλλήνων καὶ τῶν Βαρβάρων ῥαδίως ἂν ποιήσειαν· ὁ δὲ διὰ τῆς ψυχῆς τῆς ἑαυτῦ καὶ τῦ σώματος τὰ πλεῖστα φαίνεται τῶν προειρημένων διαπραξάμενος. Ἔπειτα ἐκ μὲν τῆς Κύρου στρατείας ὅπω δῆλον, ὅτι καὶ τὲς Εὐαγόρου κινδύνους ἂν ὑπέμεινεν· ἐκ δὲ τῶν τότω πεπραγμένων ἅπασι φανερὸν, ὅτι ῥαδίως ἂν κἀκείνοις τοῖς ἔργοις ἐπεχείρησε. Πρὸς δὲ τύτοις, τῷ μὲν ὁσίως καὶ δικαίως πέπρακται ἅπαντα· τῷ δὲ ὀκ εὐσεβῶς ἔνια συμβέβηκεν. Ὁ μὲν γὰρ τὲς ἐχθρὲς ἀπώλεσε, Κῦρος δὲ τὸν πατέρα τῆς μητρὸς ἀπέκτεινεν. Ὥστ', εἴ τινες βόλοιντο μὴ τὸ μέγεθος τῶν συμβάντων, ἀλλὰ τὴν ἀρετὴν ἑκατέρου κρίνειν, δικαίως ἂν Εὐαγόραν καὶ τότου μᾶλλον ἐπαινέσειαν. Εἰ δὲ δεῖ συντόμως, καὶ μηδὲν ὑποστειλάμενον, μηδὲ δείσαντα τὸν φθόνον, ἀλλὰ παῤῥησίᾳ χρησάμενον εἰπεῖν, ὀδεὶς ὅτε

θνητὸς, ὔτε ἡμίθεος, ὔτε ἀθάνατος εὑρεθήσεται κάλλιον, οὐδὲ λαμπρότερον, ὐδὲ εὐσεβέστερον λαβὼν ἐκείνου τὴν βασιλείαν. Καὶ τύτοις ἐκείνως μάλιστ' ἂν τις πιστεύσειεν, εἰ, μὴ σφόδρα τοῖς νῦν λεγομένοις ἀπιστήσας, ἐξετάζειν ἐπιχειρήσειεν, ὅπως ἕκαστος ἐτυράννησε. Φανήσομαι γὰρ, ὐκ ἐκ παντὸς τρόπου μεγάλα λέγειν προθυμύμενος, ἀλλὰ, διὰ τὴν τοῦ πράγματος ἀλήθειαν, ὕτω περὶ αὐτῦ θρασέως εἰρηκώς.

ιή. Εἰ μὲν ὖν ἐπὶ μικροῖς διήνεγκε, τοιύτων ἂν ϗ τῶν λόγων αὐτὸν προσῆκον ἦν ἀξιῦσθαι· νῦν δὲ πάντες ἂν ὁμολογήσειαν, τυραννίδα ϗ τῶν θείων ἀγαθῶν, ϗ τῶν ἀνθρωπίνων, μέγιστον ϗ σεμνότατον ϗ περιμαχητότατον εἶναι. Τὸν δὴ τὸ κάλλιστον τῶν ὄντων κάλλιστα κτησάμενον, τίς ἂν *ἢ ῥήτωρ,* ἢ ποιητὴς, ἢ λόγων εὑρετὴς, ἀξίως τῶν πεπραγμένων ἐπαινέσειεν;

ιθ'. Οὐ τοίνυν, ἐν τύτοις ὑπερβαλόμενος, ἐν τοῖς ἄλλοις εὑρεθήσεται καταδεέστερος γεγονώς. Ἀλλὰ πρῶτον μὲν, εὐφυέστατος ὢν τὴν γνώμην, ϗ πλεῖστα κατορθοῦν δυνάμενος, ὅμως ὐκ ᾠήθη δεῖν ὀλιγωρεῖν, ὐδ' αὐτοσχεδιάζειν περὶ τῶν πραγμάτων, ἀλλ' ἐν τῷ ζητεῖν, ϗ φροντίζειν, ϗ βουλεύεσθαι, τὸν πλεῖστον χρόνον διέτριβεν· ἡγύμενος μὲν, εἰ καλῶς τὴν ἑαυτῦ φρόνησιν παρασκευάσειε, καλῶς αὐτῷ ϗ τὴν βασιλείαν ἕξειν· θαυμάζων δὲ, ὅσοι, τῆς μὲν ψυχῆς ἕνεκα, τῶν ἄλλων ποιῦνται τὴν ἐπιμέλειαν, αὐτῆς δὲ μηδὲν τυγχάνουσι φροντίζοντες. Ἔπειτα ϗ περὶ τῶν πραγμάτων τὴν αὐτὴν διάνοιαν εἶχεν· ὁρῶν γὰρ τὺς ἄριστα τῶν ὄντων ἐπιμελουμένους, ἐλάχιστα λυπουμένους, ϗ τὰς ἀληθινὰς τῶν ῥαθυμιῶν ὐκ ἐν ταῖς ἀργίαις, ἀλλ' ἐν ταῖς εὐπραγίαις ϗ ταῖς καρτερίαις ἐνύσας, ὐδὲν ἀνεξέταστον παρέλειπεν, ἀλλ' ὕτως ἀκριβῶς ϗ τὰς πράξεις ἤδει, καὶ τῶν πολιτῶν ἕκαστον ἐγίγνωσκεν, ὥστε μήτε τὺς ἐπιβουλεύοντας αὐτῷ φθάνειν, μήτε τὺς ἐπιεικεῖς ὄντας λανθάνειν, ἀλλὰ πάντας τυγχάνειν τῶν προσηκόντων· ὐ γὰρ ἐξ

ὧν ἑτέρων ἤκουεν, οὔτε ἐκόλαζεν, οὔτε ἐτίμα τοὺς πολίτας, ἀλλ᾽ ἐξ ὧν αὐτὸς συνήδει, τὰς κρίσεις ἐποιεῖτο περὶ αὐτῶν· Ἐν ταῖς τοιαύταις δὲ ἐπιμελείαις ἑαυτὸν καταστήσας, οὐδὲ περὶ τῶν κατὰ τὴν ἡμέραν ἑκάστην προσπιπτόντων, οὐδὲ περὶ ἓν πεπλανημένως εἶχεν· ἀλλ᾽ οὕτω θεοφιλῶς καὶ φιλανθρώπως διῴκει τὴν πόλιν, ὥστε τοὺς ἀφικνουμένους μὴ μᾶλλον Εὐαγόραν τῆς ἀρχῆς ζηλοῦν, ἢ τοὺς ἀρχομένους τῆς ὑπ᾽ ἐκείνῳ βασιλείας· ἅπαντα γὰρ τὸν χρόνον διετέλεσεν οὐδένα μὲν ἀδικῶν, τοὺς δὲ χρηστοὺς τιμῶν, καὶ σφόδρα μὲν ἁπάντων ἄρχων, νομίμως δὲ τοὺς ἐξαμαρτάνοντας κολάζων· οὐδὲν μὲν συμβούλων δεόμενος, ὅμως δὲ τοῖς φίλοις συμβουλευόμενος· πολλὰ μὲν τῶν χρωμένων ἡττώμενος, ἅπαντα δὲ τῶν ἐχθρῶν περιγιγνόμενος· σεμνὸς ὢν οὐ ταῖς τοῦ προσώπου συναγωγαῖς, ἀλλὰ ταῖς τοῦ βίου κατασκευαῖς· οὐδὲ πρὸς ἓν ἀτάκτως, οὐδὲ ἀνωμάλως διακείμενος, ἀλλ᾽ ὁμοίως τὰς ἐν τοῖς λόγοις ὁμολογίας, ὥσπερ τὰς ἐν τοῖς ὅρκοις, διαφυλάττων· μέγα φρονῶν οὐκ ἐπὶ τοῖς διὰ τύχην, ἀλλ᾽ ἐπὶ τοῖς δι᾽ αὑτὸν γιγνομένοις ἀγαθοῖς· τοὺς μὲν φίλους ταῖς εὐεργεσίαις ὑφ᾽ αὑτῷ ποιούμενος, τοὺς δ᾽ ἄλλους τῇ μεγαλοψυχίᾳ καταδουλούμενος· φοβερὸς ὢν οὐ τῷ πολλοῖς χαλεπαίνειν, ἀλλὰ τῷ πολὺ τὴν φύσιν τῶν ἄλλων ὑπερβάλλειν· ἡγούμενος τῶν ἡδονῶν, ἀλλ᾽ οὐκ ἀγόμενος ὑπ᾽ αὐτῶν· ὀλίγοις πόνοις πολλὰς ῥᾳστώνας κτώμενος, ἀλλ᾽ οὐ διὰ μικρὰς ῥᾳθυμίας μεγάλους πόνους ὑπολειπόμενος· ὅλως δὲ οὐδὲν παραλείπων, ὧν προσεῖναι τοῖς βασιλεῦσι πρέπει, ἀλλ᾽ ἐξ ἑκάστης πολιτείας ἐκλεγόμενος τὸ βέλτιστον· καὶ δημοτικὸς μὲν ὢν, τῇ τοῦ πλήθους θεραπείᾳ, πολιτικὸς δὲ, τῇ τῆς πόλεως διοικήσει, στρατηγικὸς δὲ, τῇ πρὸς κινδύνους εὐβουλίᾳ, τυραννικὸς δὲ, τῷ πᾶσι τούτοις διαφέρειν. Καὶ ταῦθ᾽ ὅτι προσῆν Εὐαγόρᾳ, καὶ πλείω τούτων, ἐξ αὐτῶν τῶν ἔργων ῥᾴδιον καταμαθεῖν.

κ΄. Παραλαβὼν γὰρ τὴν πόλιν ἐκβεβαρβαρωμένην, καὶ διὰ τὴν τῶν Φοινίκων ἀρχὴν οὔτε τοὺς Ἕλληνας προσδεχο-

μένην, ὔτε τέχνας ἐπισταμένην, ὔτε ἐμπορίῳ χρωμένην, ὔτε λιμένας κεκτημένην, ταῦτά τε πάντα διώρθωσε, ϗ πρὸς τύτοις ϗ χώραν πολλὴν προσεκτήσατο, ϗ τείχη προσπεριεβάλετο, ϗ τριήρεις ἐναυπηγήσατο, ϗ ταῖς ἄλλαις παρασκευαῖς ὕτως ηὔξησε τὴν πόλιν, ὥστε μηδεμιᾶς τῶν Ἑλληνίδων πόλεων ἀπολελεῖφθαι· ϗ δύναμιν τοσαύτην ἐνεποίησεν, ὥστε φοβεῖσθαι πολλὺς τῶν πρότερον καταφρονύντων αὐτῆς. Καίτοι τηλικαύτας ἐπιδόσεις τὰς πόλεις λαμβάνειν, ὐχ οἷόν τ᾽ ἐστιν, ἂν μή τις αὐτὰς διοικῇ τοιύτοις ἤθεσιν, οἵοις Εὐαγόρας μὲν εἶχεν, ἐγὼ δὲ ὀλίγῳ πρότερον ἐπειράθην διελθεῖν. Ὥστ᾽ ὐ δέδοικα, μὴ φανῶ μείζω λέγων τῶν ἐκείνῳ προσόντων, ἀλλὰ μὴ πολὺ λίαν ἀπολειφθῶ τῶν πεπραγμένων αὐτῷ. Τίς γὰρ ἂν ἐφίκοιτο τοιαύτης φύσεως, ὃς ὐ μόνον τὴν αὑτῦ πόλιν πλείονος ἀξίαν ἐποίησεν, ἀλλὰ ϗ τὸν περιέχοντα τόπον, τὴν νῆσον, ἐπὶ πραότητα ϗ μετριότητα προήγαγε; Πρὶν μὲν γὰρ λαβεῖν Εὐαγόραν τὴν ἀρχὴν, ὕτως ἀπροσοίστως ϗ χαλεπῶς εἶχον, ὥστε ϗ τῶν ἀρχόντων τύτους ἐνόμιζον εἶναι βελτίστους, οἵ τινες ἂν ὠμότατα πρὸς τὺς Ἕλληνας διακείμενοι τυγχάνοιεν. Νῦν δὲ τοσῦτον μεταπεπτώκασιν, ὥσθ᾽ ἁμιλλᾶσθαι μὲν, οἵτινες αὐτῶν δόξουσι φιλέλληνες μᾶλλον εἶναι, παιδοποιεῖσθαι δὲ τὺς πλείστους αὐτῶν, γυναῖκας λαμβάνοντας παρ᾽ ἡμῶν, χαίρειν δὲ ϗ τοῖς κτήμασι ϗ τοῖς ἐπιτηδεύμασι τοῖς Ἑλληνικοῖς μᾶλλον, ἢ τοῖς παρὰ σφίσιν αὐτοῖς, πλείους δὲ ϗ τῶν περὶ τὴν μουσικὴν, ϗ τῶν περὶ τὴν ἄλλην παίδευσιν, ἐν τύτοις τοῖς τόποις διατρίβειν, ἢ παρ᾽ οἷς πρότερον εἰωθότες ἦσαν. Καὶ τύτων ἁπάντων ὐδεὶς, ὅστις ὐκ ἂν Εὐαγόραν αἴτιον εἶναι προσομολογήσειεν.

κα´. Μέγιστον δὲ τεκμήριον καὶ τοῦ τρόπου, καὶ τῆς ὁσιότητος τῆς ἐκείνου· τῶν γὰρ Ἑλλήνων πολλοὶ καὶ καλοὶ καὶ ἀγαθοὶ, τὰς ἑαυτῶν πατρίδας ἀπολιπόντες, ἦλθον εἰς Κύπρον οἰκήσοντες, ἡγύμενοι κοινοτέραν εἶναι καὶ νομιμωτέραν τὴν Εὐαγόρου βασιλείαν τῶν οἴκοι πολιτειῶν. Ὧν τὺς

μὲν ἄλλους ὀνομαστὶ διελθεῖν, πολὺ ἂν ἔργον εἴη· Κόνωνα δὲ, τὸν διὰ πλείστας ἀρετὰς πρωτεύσαντα τῶν Ἑλλήνων, τίς οὐκ οἶδεν ὅτι, δυστυχησάσης τῆς πόλεως, ἐξ ἁπάντων ἐκλεξάμενος, ὡς Εὐαγόραν ἦλθε; νομίσας καὶ τῷ σώματι βεβαιοτάτην εἶναι τὴν παρ᾽ ἐκεῖνον καταφυγὴν, καὶ τῇ πόλει τάχιστα ἂν αὐτὸν γενέσθαι βοηθόν. Πολλὰ δὲ πρότερον ἤδη κατωρθωκὼς, οὐδὲ περὶ ἑνὸς πώποτε πράγματος ἔδοξεν ἄμεινον ἢ περὶ τούτων βεβουλεῦσθαι· συνέβη γὰρ αὐτῷ, διὰ τὴν ἄφιξιν τὴν εἰς Κύπρον, καὶ ποιῆσαι καὶ παθεῖν πλεῖστα ἀγαθά. Πρῶτον μὲν γὰρ οὐκ ἔφθησαν ἀλλήλοις πλησιάσαντες, καὶ περὶ πλείονος ἐποιήσαντο σφᾶς αὐτοὺς, ἢ τοὺς πρότερον οἰκείους ὄντας. Ἔπειτα περί τε τῶν ἄλλων ὁμονοοῦντες ἅπαντα τὸν χρόνον διετέλεσαν, καὶ περὶ τῆς ἡμετέρας πόλεως τὴν αὐτὴν γνώμην ἔσχον. Ὁρῶντες γὰρ αὐτὴν ὑπὸ Λακεδαιμονίοις οὖσαν, καὶ μεγάλῃ μεταβολῇ κεχρημένην, λυπηρῶς καὶ βαρέως ἔφερον, ἀμφότεροι προσήκοντα ποιοῦντες· τῷ μὲν γὰρ ἦν φύσει πατρὶς, τὸν δὲ διὰ πολλὰς καὶ μεγάλας εὐεργεσίας νόμῳ πολίτην ἐπεποίηντο. Σκοπουμένοις δὲ αὐτοῖς, ὅπως τῶν συμφορῶν αὐτὴν ἀπαλλάξουσι, ταχὺ τὸν καιρὸν Λακεδαιμόνιοι παρεσκεύασαν· ἄρχοντες γὰρ τῶν Ἑλλήνων καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν, εἰς τοῦτ᾽ ἀπληστίας ἦλθον, ὥστε καὶ τὴν Ἀσίαν κακῶς ποιεῖν ἐπεχείρησαν. Λαβόντες δὲ ἐκεῖνοι τοῦτον τὸν καιρὸν, καὶ τῶν στρατηγῶν τῶν βασιλέως ἀπορούντων, ὅ,τι χρήσωνται τοῖς παροῦσιν, ἐδίδασκον αὐτοὺς μὴ κατὰ γῆν, ἀλλὰ κατὰ θάλατταν τὸν πόλεμον τὸν πρὸς Λακεδαιμονίους ποιεῖσθαι· νομίζοντες, εἰ μὲν πεζὸν στρατόπεδον καταστήσαιντο, καὶ τούτῳ περιγένοιντο, τὰ περὶ τὴν ἤπειρον μόνην καλῶς ἕξειν· εἰ δὲ κατὰ θάλατταν κρατήσειαν, πᾶσαν τὴν Ἑλλάδα τῆς νίκης ταύτης μεθέξειν. Ὅπερ συνέβη· πεισθέντων γὰρ ταῦτα τῶν στρατηγῶν, καὶ ναυτικοῦ συλλεγέντος, Λακεδαιμόνιοι μὲν κατεναυμαχήθησαν, καὶ τῆς ἀρχῆς ἀπεστερήθησαν, οἱ δὲ Ἕλληνες ἠλευθερώθησαν,

ἡ δὲ πόλις ἡμῶν τῆς τε παλαιᾶς δόξης μέρος τι πάλιν ἀπέλαβε, καὶ τῶν συμμάχων ἡγεμὼν κατέστη. Καὶ ταῦτ᾽ ἐπράχθη, Κόνωνος μὲν στρατηγοῦντος, Εὐαγόρου δὲ αὐτόν τε παρασχόντος, καὶ τῆς δυνάμεως τὴν πλείστην παρασκευάσαντος. Ὑπὲρ ὧν ἡμεῖς μὲν αὐτοὺς ἐτιμήσαμεν ταῖς μεγίσταις τιμαῖς, καὶ τὰς εἰκόνας αὐτῶν ἐστήσαμεν, οὗπερ τὸ τοῦ Διὸς ἄγαλμα τοῦ σωτῆρος, πλησίον ἐκείνου τε καὶ σφῶν αὐτῶν, ἀμφοτέρων ὑπόμνημα, καὶ τοῦ μεγέθους τῆς εὐεργεσίας, καὶ τῆς φιλίας τῆς πρὸς ἀλλήλους.

κβʹ. Βασιλεὺς δὲ οὐ τὴν αὐτὴν γνώμην ἔσχε περὶ αὐτῶν· ἀλλ᾽ ὅσω μείζω καὶ πλείονος ἄξια κατειργάσαντο, τοσούτω μᾶλλον ἔδεισεν αὐτούς. Περὶ μὲν οὖν Κόνωνος ἄλλος ἡμῖν ἔσται λόγος. Ὅτι δὲ πρὸς Εὐαγόραν οὕτως ἔσχεν, οὐδ᾽ αὐτὸς λαθεῖν ἐζήτησε. Φαίνεται γὰρ μᾶλλον μὲν σπουδάσας περὶ τὸν ἐν Κύπρω πόλεμον, ἢ περὶ τοὺς ἄλλους ἅπαντας, μείζω δὲ καὶ χαλεπώτερον ἐκεῖνον ἀνταγωνιστὴν νομίσας, ἢ Κῦρον τὸν περὶ τῆς βασιλείας ἀμφισβητήσαντα. Καὶ τούτου μέγιστον τεκμήριον· τοῦ μὲν γὰρ ἀκούων τὰς παρασκευὰς, τοσοῦτον κατεφρόνησεν, ὥστε, διὰ τὸ μὴ φροντίζειν, μικροῦ δεῖν ἔλαθεν αὐτὸν ἐπὶ τὸ βασίλειον ἐπιστάς· πρὸς δὲ τοῦτον οὕτως ἐκ πολλοῦ περιδεῶς ἔσχεν, ὥστε, μεταξὺ πάσχων εὖ, πολεμεῖν πρὸς αὐτὸν ἐπεχείρησε, δίκαια μὲν οὐ ποιῶν, οὐ μὴν παντάπασιν ἀλόγως βουλευσάμενος. Ἠπίσταντο μὲν γὰρ πολλοὺς καὶ τῶν Ἑλλήνων, καὶ τῶν Βαρβάρων, ἐκ ταπεινῶν καὶ φαύλων πραγμάτων, μεγάλας δυναστείας κατεργασαμένους· ᾐσθάνετο δὲ τὴν Εὐαγόρου μεγαλοψυχίαν, καὶ τὰς ἐπιδόσεις αὐτῶ καὶ τὰς δόξας τῶν πραγμάτων, οὐ κατὰ μικρὸν γιγνομένας, ἀλλὰ καὶ τὴν φύσιν ἀνυπέρβλητον ἔχοντα, καὶ τὴν τύχην αὐτῶ συναγωνιζομένην. Ὥστε, οὐχ ὑπὲρ τῶν γεγενημένων ὀργιζόμενος, ἀλλὰ περὶ τῶν μελλόντων φοβούμενος, οὐδὲ περὶ Κύπρου μόνον δεδιὼς, ἀλλὰ πολὺ περὶ μειζόνων, ἐποιήσατο τὸν πόλεμον πρὸς αὐτόν· οὕτω δ᾽ οὖν ὥρμησεν, ὥστε εἰς τὴν στρατείαν ταύτην πλέον ἢ πεντακισμύρια τάλαντα κατανάλωσεν.

κγ΄. Ἀλλ' ὅμως Εὐαγόρας, πάσαις ἀπολελειμμένος ταῖς δυνάμεσιν, ἀντιτάξας τὴν ἑαυτοῦ γνώμην πρὸς τὰς ὅτως ὑπερμεγέθεις παρασκευὰς, ἐπέδειξεν αὐτὸν ἐν τέτοις πολὺ θαυμαστότερον, ἢ τοῖς ἄλλοις τοῖς προειρημένοις. Ὅτε μὲν γὰρ αὐτὸν εἴων εἰρήνην ἄγειν, τὴν ἑαυτοῦ μόνην πόλιν εἶχεν· ἐπειδὴ δὲ ἠναγκάσθη πολεμεῖν, τοιοῦτος ἦν, καὶ τοιοῦτον εἶχε Πρωταγόραν τὸν υἱὸν τὸν ἑαυτοῦ συναγωνιστὴν, ὥστε μικροῦ μὲν ἐδέησε Κύπρον ἅπασαν κατασχεῖν, Φοινίκην δὲ ἐπόρθησε, Τύρον δὲ κατὰ κράτος εἷλε, Κιλικίαν δὲ βασιλέως ἀπέστησε, τοσούτους δὲ τῶν πολεμίων ἀπώλεσεν, ὥστε πολλοὺς τῶν Περσῶν, πενθοῦντας τὰς ἑαυτῶν συμφορὰς, μεμνῆσθαι τῆς ἀρετῆς τῆς ἐκείνου· τελευτῶν δ' ὅτως ἐνέπλησεν αὐτοὺς τοῦ πολεμεῖν, ὥστε, εἰθισμένων τὸν ἄλλον χρόνον τῶν βασιλέων μὴ διαλλαττεσθαι τοῖς ἀποστᾶσι, πρὶν κύριοι γένοιντο τῶν σωμάτων, ἄσμενοι τὴν εἰρήνην ἐποιήσαντο, λύσαντες μὲν τὸν νόμον τουτον, οὐδὲν δὲ κινήσαντες τῆς Εὐαγόρου τυραννίδος. Καὶ Λακεδαιμονίων μὲν, τῶν καὶ δόξαν καὶ δύναμιν μεγίστην ἐχόντων κατ' ἐκεῖνον τὸν καιρὸν, ἐντὸς τριῶν ἐτῶν ἀφείλετο τὴν ἀρχήν· Εὐαγόρᾳ δὲ πολεμήσας ἔτη δέκα, τῶν αὐτῶν κύριον κατέλιπεν, ὧνπερ ἦν καὶ πρὶν εἰς τὸν πόλεμον εἰσελθεῖν. Ὃ δὲ πάντων θαυμαστότατον, τὴν γὰρ πόλιν, ἣν Εὐαγόρας, ἑτέρου τυραννεύοντος, μετὰ πεντήκοντα ἀνδρῶν εἷλε, ταύτην βασιλεὺς ὁ μέγας, τοσαύτην δύναμιν ἔχων, οὐχ οἷός τ' ἐγένετο χειρώσασθαι.

κδ΄. Καίτοι πῶς ἄν τις τὴν ἀνδρίαν, ἢ τὴν φρόνησιν, ἢ σύμπασαν τὴν ἀρετὴν τὴν Εὐαγόρου, φανερώτερον ἐπιδείξειεν, ἢ διὰ τοιούτων ἔργων καὶ κινδύνων; Οὐ γὰρ μόνον φανεῖται τοὺς ἄλλους πολέμους, ἀλλὰ καὶ τὸν τῶν ἡρώων ὑπερβαλόμενος, τὸν ὑπὸ πάντων ἀνθρώπων ὑμνούμενον. Οἱ μὲν γὰρ μετὰ πάσης Ἑλλάδος Τροίαν μόνην εἷλον, ὁ δὲ, μίαν πόλιν ἔχων, πρὸς ἅπασαν τὴν Ἀσίαν ἐπολέμησεν· ὥστ', εἰ τοσοῦτοι τὸ πλῆθος ἐγκωμιάζειν αὐτὸν ἠβουλήθησαν, ὅσοιπερ ἐκείνους, πολὺ μείζω ἂν καὶ τὴν δόξαν αὐτῶν ἔλαβε.

κέ. Τίνα γὰρ ἂν εὑρήσομεν τῶν τότε γενομένων, εἰ τὲς μύθους νῦν ἀφέντες, τὴν ἀλήθειαν σκοποῖμεν, τοιαῦτα διαπεπραγμένον, ἢ τίνα τοσούτων μεταβολῶν ἐν τοῖς πράγμασιν αἴτιον γεγενημένον; ὃς ἑαυτόν μὲν ἐξ ἰδιώτου τύραννον κατέστησε, τὸ δὲ γένος, ἀπεληλαμένον ἅπαν τῆς πολιτείας, εἰς τὰς προσηκούσας τιμὰς πάλιν ἐπανήγαγε, τὲς δὲ πολίτας ἐκ βαρβάρων μὲν Ἕλληνας ἐποίησεν, ἐξ ἀνάνδρων δὲ πολεμικοὺς, ἐξ ἀδόξων δὲ ὀνομαστοὺς, τὸν δὲ τόπον, ἄμικτον ὅλον παραλαβὼν, καὶ παντάπασιν ἐξηγριωμένον, ἡμερώτερον καὶ πρᾳότερον κατέστησεν· ἔτι δὲ πρὸς τούτοις, εἰς ἔχθραν μὲν Βασιλεῖ καταστὰς, οὕτως αὐτὸν ἠμύνατο καλῶς, ὥςε ἀείμνηστον γενέσθαι τὸν πόλεμον τὸν περὶ Κύπρον· ὅτε δ᾽ ἦν αὐτῷ σύμμαχος, τοσούτῳ χρησιμώτερον ἑαυτὸν παρέσχε τῶν ἄλλων, ὥστε ὁμολογουμένως μεγίστην αὐτῷ συμβαλέσθαι δύναμιν εἰς τὴν ναυμαχίαν τὴν περὶ Κνίδον. Ἧς γενομένης, βασιλεὺς μὲν ἁπάσης τῆς Ἀσίας κύριος κατέστη· Λακεδαιμόνιοι δ᾽, ἀντὶ τοῦ τὴν ἤπειρον πορθεῖν, περὶ τῆς ἑαυτῶν κινδυνεύειν ἠναγκάσθησαν· οἱ δ᾽ Ἕλληνες ἀντὶ δουλείας αὐτονομίαν ἔσχον· Ἀθηναῖοι δὲ τοσοῦτον ἐπέδοσαν, ὥστε τὲς πρότερον αὐτῶν ἄρχοντας, ἐλθεῖν ὡς αὐτὲς τὴν ἀρχὴν παραδώσοντας.

κϛ´. Ὥστ᾽, εἴ τις ἔροιτό με, τί νομίζω μέγιστον εἶναι τῶν Εὐαγόρᾳ πεπραγμένων, πότερον τὰς ἐπιμελείας ϗ τὰς παρασκευὰς τὰς πρὸς Λακεδαιμονίους, δι᾽ ὧν τὰ προειρημένα γέγονεν, ἢ τὸν τελευταῖον πόλεμον, ἢ τὴν κατάληψιν τῆς βασιλείας, ἢ τὴν ὅλην τῶν πραγμάτων διοίκησιν, εἰς πολλὴν ἀπορίαν ἂν καθισταίην. Τοῦτο γάρ μοι δοκεῖ μέγιστον εἶναι, καὶ θαυμαστότατον, καθ᾽ ὅ,τι ἂν αὐτῶν ἐπιστήσω τὴν γνώμην.

κζ´. Ὥστ᾽, εἴ τινες τῶν προγεγενημένων δι᾽ ἀρετὴν ἀθάνατοι γεγόνασιν, οἶμαι κἀκεῖνον ἠξιῶσθαι ταύτης τῆς δωρεᾶς, σημείοις χρώμενος, ὅτι καὶ τὸν ἐνθάδε βίον εὐτυχέστερον καὶ θεοφιλέστερον ἐκείνων διαβεβίωκε. Τῶν μὲν γὰρ

ἡμιθέων τοὺς πλείστους καὶ ὀνομαστοτάτους εὑρήσομεν ταῖς μεγίσταις συμφοραῖς περιπεσόντας· Εὐαγόρας δὲ οὐ μόνον θαυμαστότατος ἐξ ἀρχῆς ὢν διετέλεσεν, ἀλλὰ καὶ μακαριστότατος.

κη΄. Τί γὰρ ἀπέλιπεν εὐδαιμονίας; ὃς τοιούτων μὲν προγόνων ἔτυχεν, οἵων οὐδεὶς ἄλλος, πλὴν εἴ τις ἀπὸ τῶν αὐτῶν ἐκείνῳ γέγονε· τοσοῦτον δὲ καὶ τῷ σώματι τῶν ἄλλων καὶ τῇ γνώμῃ διήνεγκεν, ὥστε μὴ μόνον Σαλαμῖνος, ἀλλὰ καὶ τῆς Ἀσίας ἁπάσης ἄξιος εἶναι τυραννεῖν· κάλλιστα δὲ κτησάμενος τὴν βασιλείαν, ἐν ταύτῃ τὸν βίον διετέλεσε· θνητὸς δὲ γενόμενος, ἀθάνατον τὴν περὶ αὐτοῦ μνήμην κατέλιπε· τοσοῦτον δὲ ἐβίω χρόνον, ὥστε μήτε τοῦ γήρως ἄμοιρος γενέσθαι, μήτε τῶν νοσημάτων μετασχεῖν τῶν διὰ ταύτην τὴν ἡλικίαν γιγνομένων· πρὸς δὲ τούτοις, ὃ δοκεῖ σπανιώτατον εἶναι καὶ χαλεπώτατον, εὐπαιδίας τυχεῖν ἅμα καὶ πολυπαιδίας, οὐδὲ τούτου διήμαρτεν, ἀλλὰ καὶ τοῦτ᾽ αὐτῷ συνέπεσε· καὶ τὸ μέγιστον, ὅτι τῶν ἐξ αὐτοῦ γενομένων οὐδένα κατέλιπεν ἰδιωτικοῖς ὀνόμασι προσαγορευόμενον, ἀλλὰ τὸν μὲν βασιλέα καλούμενον, τοὺς δὲ ἄνακτας, τὰς δὲ ἀνάσσας. Ὥστ᾽, εἴ τινες τῶν ποιητῶν περί τινος τῶν προγεγενημένων ὑπερβολαῖς κέχρηνται, λέγοντες, ὡς ἦν θεὸς ἐν ἀνθρώποις, ἢ δαίμων, ἀλλ᾽ οὐ θνητὸς, ἅπαντα τὰ τοιαῦτα περὶ τὴν ἐκείνου ῥηθῆναι φύσιν μάλιστ᾽ ἂν ἁρμόσειε.

κθ΄. Τῶν μὲν οὖν εἰς Εὐαγόραν πολλὰ μὲν οἴομαι παραλιπεῖν· ὑστερίζω γὰρ τῆς ἀκμῆς τῆς ἐμαυτοῦ, μεθ᾽ ἧς ἀκριβέστερον καὶ φιλοπονώτερον ἐξειργασάμην ἂν τὸν ἔπαινον τοῦτον· οὐ μὴν ἀλλὰ καὶ νῦν, ὅσον ἦν κατὰ τὴν ἐμὴν δύναμιν, οὐκ ἀνεγκωμίαστός ἐστιν.

λ΄. Ἐγὼ δ᾽, ὦ Νικόκλεις, ἡγοῦμαι καλὰ μὲν εἶναι μνημεῖα, καὶ τὰς τῶν σωμάτων εἰκόνας· πολὺ μέντοι πλείονος ἀξίας τὰς τῶν πράξεων καὶ τῆς διανοίας, ἃς ἐν τοῖς λόγοις ἄν τις μόνον τοῖς τεχνικῶς ἔχουσι θεωρήσειε. Προ-

κρίνω δὲ ταύτας, πρῶτον μὲν εἰδὼς, τοὺς καλοὺς καὶ ἀγαθοὺς τῶν ἀνδρῶν, οὐχ οὕτως ἐπὶ τῷ κάλλει τοῦ σώματος σεμνυνομένους, ὡς ἐπὶ τοῖς ἔργοις καὶ τῇ μνήμῃ φιλοτιμουμένους· ἔπειθ᾽ ὅτι τοὺς μὲν τύπους ἀναγκαῖον παρὰ τούτοις εἶναι μόνον, παρ᾽ οἷς ἂν σταθῶσι· τοὺς δὲ λόγους ἐξενεχθῆναι οἷόν τ᾽ ἐστιν εἰς τὴν Ἑλλάδα, καὶ διαδοθέντας ἐν ταῖς τῶν εὖ φρονούντων διατριβαῖς ἀγαπᾶσθαι, παρ᾽ οἷς κρεῖττόν ἐστιν, ἢ παρὰ τοῖς ἄλλοις ἅπασιν εὐδοκιμεῖν· πρὸς δὲ τούτοις, ὅτι τοῖς μὲν πεπλασμένοις καὶ τοῖς γεγραμμένοις οὐδεὶς ἂν τὴν τοῦ σώματος φύσιν ὁμοιώσειε, τοὺς δὲ τρόπους τοὺς ἀλλήλων, καὶ τὰς διανοίας, τὰς ἐν τοῖς λεγομένοις ἐνούσας, ἐκ τούτων ῥᾴδιόν ἐστι μιμεῖσθαι τοῖς μὴ ῥαθυμεῖν αἱρουμένοις, ἀλλὰ χρηστοῖς εἶναι βουλομένοις.

λα΄. Ὧν ἕνεκα καὶ μᾶλλον ἐπεχείρησα γράφειν τοῦτον τὸν λόγον, ἡγούμενος καὶ σοὶ, καὶ τοῖς σοῖς παισὶ, καὶ τοῖς ἄλλοις τοῖς ἀπ᾽ Εὐαγόρου γεγονόσι, πολὺ καλλίστην ἂν γενέσθαι ταύτην παράκλησιν, εἴ τις ἀθροίσας τὰς ἀρετὰς τὰς ἐκείνου, καὶ τῷ λόγῳ κοσμήσας, παραδοίη θεωρεῖν ὑμῖν, καὶ συνδιατρίβειν αὐταῖς. Τοὺς μὲν γὰρ ἄλλους προτρέπομεν ἐπὶ τὴν φιλοσοφίαν, ἑτέρους ἐπαινοῦντες, ἵνα, ζηλοῦντες ἐκ τούτων τοὺς εὐλογουμένους, τῶν αὐτῶν ἐκείνοις ἐπιτηδευμάτων ἐπιθυμῶσιν· ἐγὼ δὲ σὲ καὶ τοὺς σοὺς, οὐκ ἀλλοτρίοις παραδείγμασι χρώμενος, ἀλλ᾽ οἰκείοις, παρακαλῶ καὶ συμβουλεύω προσέχειν τὸν νοῦν, ὅπως καὶ λέγειν καὶ πράττειν μηδενὸς ἧττον δυνήσῃ τῶν Ἑλλήνων.

λβ΄. Καὶ μὴ νόμιζέ με καταγιγνώσκειν, ὡς νῦν ἀμελεῖς, ὅτι πολλάκις σοι διακελεύομαι περὶ τῶν αὐτῶν. Οὐ γὰρ οὔτε ἐμὲ λέληθεν, οὔτε τοὺς ἄλλους, ὅτι καὶ μόνος καὶ πρῶτος τῶν ἐν τυραννίδι καὶ πλούτῳ καὶ τρυφαῖς ὄντων, φιλοσοφεῖν καὶ φιλοπονεῖν ἐπεχείρησας· οὐδ᾽ ὅτι πολλοὺς τῶν βασιλέων ποιήσεις, ζηλώσαντας τὴν σὴν παίδευσιν, τούτων τῶν διατριβῶν ἐπιθυμεῖν, ἀφεμένους ἐφ᾽ οἷς νῦν λίαν χαίρουσιν. Ἀλλ᾽ ὅμως ἐγὼ, ταῦτα εἰδὼς, οὐδὲν ἧττον καὶ ποι-

ῶ καὶ ποιήσω ταὐτὸν, ὅπερ ἐν τοῖς γυμνικοῖς ι
θεαταί· καὶ γὰρ ἐκεῖνοι παρακελεύονται τῶν δρ
τοῖς ἀπολελειμμένοις, ἀλλὰ τοῖς περὶ τῆς νίκη
ζομένοις.

λγ΄. Ἐμὸν μὲν ἦν ἐστι, καὶ τῶν ἄλλων φίλων,
καὶ λέγειν καὶ γράφειν, ἐξ ὧν μέλλομέν σε παρι
ρέγεσθαι τέτων, ὧνπερ καὶ νῦν τυγχάνεις ἐπιθυ
δὲ προσήκει μηδὲν ἐλλείπειν, ἀλλ᾽ ὥσπερ ἐν τῷ πι
τὸν ἄλλον χρόνον ἐπιμελεῖσθαι, καὶ τὴν ψυχὴν ἀ
πως ἄξιος ἔσῃ καὶ τοῦ πατρὸς καὶ τῶν ἄλλων π
ὡς ἅπασι μὲν προσήκει περὶ πολλȣ̃ ποιεῖσθαι τὴν (
μάλιστα δ᾽ ὑμῖν, τοῖς πλείστων κυρίοις οὖσι. Χρὴ
ἀγαπᾷν, εἰ τῶν παρόντων τυγχάνεις ὢν ἤδη κρείττ
ἀγανακτεῖν, εἰ, τοιοῦτος μὲν αὐτὸς ὢν τὴν φύσιν,
δὲ τὸ μὲν παλαιὸν ἀπὸ Διὸς, τὸ δ᾽ ὑπογυιώτατον
δρὸς τοιȣ́του τὴν ἀρετὴν, * εἰ * μὴ πολὺ διοίσεις κ
ἄλλων, καὶ τῶν ἐν ταῖς αὐταῖς σοι τιμαῖς ὄντων.
ἐπὶ σοὶ μὴ διαμαρτεῖν τούτων· ἐὰν γὰρ ἐμμένῃς τῇ
σοφίᾳ, καὶ τοσοῦτον ἐπιδιδῷς, ὅσον περ νῦν, ταχέως
σῃ τοιοῦτος, οἷόν σε προσήκει.

ΒΙΒΛΙΟΘΗΚΗ Μ. ΘΑΛΤΑΓΗ

ΕΚΚΛΗΣΙΑΣΤΙΚΟΥ ΑΚΑΔΗΜΑΪΚΟΥ ΣΥΝΔΕΣΜΟΥ

# ΑΙ ΑΠΟ ΤΟΥ 1925 ΜΕΧΡΙ ΤΕΛΟΥΣ ΤΟΥ 1934 ΕΙΣΠΡΑΞΕΙΣ ΚΑΙ ΔΑΠΑΝΑΙ

ὑπὲρ τῆς

# ΑΝΩΤΕΡΑΣ ΟΡΘΟΔΟΞΟΥ ΚΑΤΗΧΗΤΙΚΗΣ ΣΧΟΛΗΣ

1935

ΒΙΒΛΙΟΘΗΚΗ
Μ. ΘΑΛΑΤΤΣ